GREEK SERIES · VOLUME 42

Pindar

Pindar

ΟΛΥΜΠΙΟΝΙΚΑΙ
ΠΥΘΙΟΝΙΚΑΙ
ΝΕΜΕΟΝΙΚΑΙ
ΙΣΘΜΙΟΝΙΚΑΙ

The Olympian, Pythian, Nemean, and Isthmian Odes

---

with a word-for-word interlinear English translation

preserving the original word order



CANES NOBILES · MMXXVI

Copyright © 2026 Christopher Hench
All rights reserved

Published by Canes Nobiles
canesnobiles.com

The source text is used under a Creative Commons
Attribution-ShareAlike 4.0 International License
creativecommons.org/licenses/by-sa/4.0



Volume 42 of the Canes Nobiles Greek interlinear texts

The Greek text follows Sandys's text of Pindar, 1919

Set from the Perseus Digital Library, with corrections

Translated and composed with AI, edited by Christopher Hench
Artwork by Esther Steves

Words the editor secludes are not printed.

CONTENTS

THE OLYMPIAN ODES

I · For Hieron of Syracuse 9
II · For Theron of Acragas 20
III · For Theron of Acragas 29
IV · For Psaumis of Camarina 34
V · For Psaumis of Camarina 37
VI · For Hagesias of Syracuse 40
VII · For Diagoras of Rhodes 50
VIII · For Alcimedon of Aegina 60
IX · For Epharmostus of Opous 68
X · For Hagesidamus of Western Locri 78
XI · For Hagesidamus of Western Locri 88
XII · For Ergoteles of Himera 90
XIII · For Xenophon of Corinth 92
XIV · For Asopichus of Orchomenus 102

THE PYTHIAN ODES

I · For Hieron of Aetna 107
II · For Hieron of Syracuse 118
III · For Hieron of Syracuse 127
IV · For Arcesilas of Cyrene 138
V · For Arcesilas of Cyrene 165
VI · For Xenocrates of Acragas 176

THE PYTHIAN ODES

(continued)

VII · For Megacles of Athens 181
VIII · For Aristomenes of Aegina 183
IX · For Telesicrates of Cyrene 191
X · For Hippocleas of Thessaly 203
XI · For Thrasydaeus of Thebes 210
XII · For Midas of Acragas 216

THE NEMEAN ODES

I · For Chromius of Aetna 221
II · For Timodemus of Acharnae 228
III · For Aristocleides of Aegina 231
IV · For Timasarchus of Aegina 239
V · For Pytheas of Aegina 247
VI · For Alcimidas of Aegina 252
VII · For Sogenes of Aegina 258
VIII · For Deinias of Aegina 267
IX · For Chromius of Aetna 272
X · For Theaeus of Argos 278
XI · For Aristagoras of Tenedos 287

THE ISTHMIAN ODES

I · For Herodotus of Thebes 295
II · For Xenocrates of Acragas 302
III · For Melissus of Thebes 307
IV · For Melissus of Thebes 309
V · For Phylacidas of Aegina 317
VI · For Phylacidas of Aegina 323
VII · For Strepsiades of Thebes 330
VIII · For Cleander of Aegina 335

PINDAR

ΟΛΥΜΠΙΟΝΙΚΑΙ

The Olympian Odes

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΥΣΙΩ ΚΕΛΗΤΙ

I · FOR HIERON OF SYRACUSE

Water is best and gold shines like fire, and no contest outshines Olympia. The poet praises Hieron, lord of Sicily, whose horse Pherenicus won at the Alpheus. He rejects the tale that the gods ate Pelops, and tells instead how Poseidon carried him to Olympus, how Tantalus stole nectar and was punished, and how Pelops, sent back, won Hippodameia from Oenomaus with Poseidon's golden chariot. He hopes to sing a sweeter chariot victory for Hieron, and prays that Hieron may walk on high.

Ἄριστον μὲν ὕδωρ, ὁ δὲ χρυσὸς αἰθόμενον πῦρ
Best indeed water the and gold blazing fire
ἅτε διαπρέπει νυκτὶ μεγάνορος ἔξοχα πλούτου·
like shines-out by-night lordly beyond wealth
εἰ δ' ἄεθλα γαρύεν
if and contests to-sing
ἔλδεαι, φίλον ἦτορ,
you-wish dear heart
μηκέθ' ἁλίου σκόπει 5
no-longer than-the-sun look-for
ἄλλο θαλπνότερον ἐν ἁμέρᾳ φαεννὸν
other warmer in day bright
ἄστρον ἐρήμας δι' αἰθέρος,
star lonely through sky
μηδ' Ὀλυμπίας ἀγῶνα φέρτερον αὐδάσομεν·
nor than-Olympia a-contest greater shall-we-proclaim

ὅθεν ὁ πολύφατος ὕμνος ἀμφιβάλλεται
whence the much-voiced hymn is-cast-about
σοφῶν μητίεσσι, κελαδεῖν
of-the-wise by-the-thoughts to-celebrate
Κρόνου παῖδ' ἐς ἀφνεὰν ἱκομένους
of-Cronus the-son to rich having-come
μάκαιραν Ἱέρωνος ἑστίαν,
blessed of-Hieron hearth

θεμιστεῖον ὃς ἀμφέπει σκᾶπτον ἐν πολυμάλῳ
law-giving who wields scepter in rich-in-flocks
Σικελίᾳ, δρέπων μὲν κορυφὰς ἀρετᾶν ἄπο πασᾶν,
Sicily plucking indeed the-peaks excellences from all
ἀγλαΐζεται δὲ καὶ
he-is-glorified and also
μουσικᾶς ἐν ἀώτῳ,
of-music in the-finest
οἷα παίζομεν φίλαν
such-as we-play dear
ἄνδρες ἀμφὶ θαμὰ τράπεζαν.
men around often table
ἀλλὰ Δωρίαν ἀπὸ φόρμιγγα πασσάλου
but Dorian from lyre peg
λάμβαν', εἴ τί τοι Πίσας τε καὶ Φερενίκου χάρις
take if at-all to-you of-Pisa both and of-Pherenicus charm
νόον ὑπὸ γλυκυτάταις ἔθηκε φροντίσιν,
mind under sweetest set thoughts

ὅτε παρ᾽ Ἀλφεῷ σύτο, δέμας
when by Alpheus he-sped body
ἀκέντητον ἐν δρόμοισι παρέχων,
ungoaded in races presenting
κράτει δὲ προσέμιξε δεσπόταν,
to-victory and he-brought his-master

Συρακόσιον ἱπποχάρμαν βασιλῆα. λάμπει δέ οἱ κλέος
Syracusan horse-delighting king shines and for-him fame
ἐν εὐάνορι Λυδοῦ Πέλοπος ἀποικίᾳ·
in brave-manned Lydian of-Pelops colony
τοῦ μεγασθενὴς ἐράσσατο γαιάοχος
whom mighty loved the-earth-holder
Ποσειδᾶν, ἐπεί νιν καθαροῦ λέβητος ἔξελε Κλωθὼ
Poseidon since him from-pure cauldron took-out Clotho
ἐλέφαντι φαίδιμον ὦμον κεκαδμένον.
with-ivory gleaming shoulder furnished
ἦ θαυματὰ πολλά, καί πού τι
truly marvels many and perhaps somewhat
καὶ βροτῶν φάτις ὑπὲρ τὸν ἀλαθῆ λόγον
also of-mortals talk beyond the true account
δεδαιδαλμένοι ψεύδεσι ποικίλοις ἐξαπατῶντι μῦθοι
embellished with-lies intricate deceive tales

Χάρις δ', ἅπερ ἅπαντα τεύχει τὰ μείλιχα θνατοῖς,
Grace and which all makes the soothing for-mortals
ἐπιφέροισα τιμὰν καὶ ἄπιστον ἐμήσατο πιστὸν
bestowing honor even unbelievable contrives believable
ἔμμεναι τὸ πολλάκις·
to-be the often
ἀμέραι δ' ἐπίλοιποι
the-days but to-come
μάρτυρες σοφώτατοι.
witnesses wisest
ἔστι δ' ἀνδρὶ φάμεν ἐοικὸς ἀμφὶ δαιμόνων
it-is and for-a-man to-say fitting about gods
καλά· μείων γὰρ αἰτία.
noble-things less for the-blame
υἱὲ Ταντάλου, σὲ δ', ἀντία προτέρων, φθέγξομαι,
son of-Tantalus you and against predecessors I-will-proclaim
ὁπότ' ἐκάλεσε πατὴρ τὸν εὐνομώτατον
when invited the-father the most-orderly
ἐς ἔρανον φίλαν τε Σίπυλον,
to feast dear and Sipylus
ἀμοιβαῖα θεοῖσι δεῖπνα παρέχων,
in-return to-the-gods banquets offering
τότ' Ἀγλαοτρίαιναν ἁρπάσαι
then the-Bright-Trident to-have-snatched

δαμέντα φρένας ἱμέρῳ χρυσέαισί τ' ἀν' ἵπποις
subdued in-heart by-desire golden and on mares
ὕπατον εὐρυτίμου ποτὶ δῶμα Διὸς μεταβᾶσαι,
highest of-wide-honored to house of-Zeus to-have-carried

ἔνθα δευτέρῳ χρόνῳ
where at-a-later time
ἦλθε καὶ Γανυμήδης
came also Ganymede
Ζηνὶ τωὔτ᾽ ἐπὶ χρέος.
to-Zeus the-same for service
ὡς δ᾽ ἄφαντος ἔπελες, οὐδὲ ματρὶ
when and unseen you-were nor to-mother
πολλὰ μαιόμενοι φῶτες ἄγαγον,
much searching men brought
ἔννεπε κρυφᾷ τις αὐτίκα φθονερῶν γειτόνων,
told secretly one at-once of-envious neighbors
ὕδατος ὅτι σε πυρὶ ζέοισαν εἰς ἀκμὰν
of-water that you on-fire boiling to the-peak
μαχαίρᾳ τάμον κάτα μέλη,
with-knife they-cut by limbs
τραπέζαισί τ᾽, ἀμφὶ δεύτατα, κρεῶν
at-tables and at the-last-course of-flesh
σέθεν διεδάσαντο καὶ φάγον.
of-you they-shared and ate

ἐμοὶ δ᾽ ἄπορα γαστρίμαργον μακάρων τιν᾽ εἰπεῖν. ἀφίσταμαι.
for-me but impossible gluttonous of-the-blessed any to-call I-stand-back
ἀκέρδεια λέλογχεν θαμινὰ κακαγόρους.
loss has-befallen often slanderers

εἰ δὲ δή τιν' ἄνδρα θνατὸν Ὀλύμπου σκοποὶ
if and indeed any man mortal of-Olympus watchers
ἐτίμασαν, ἦν Τάνταλος οὗτος· ἀλλὰ γὰρ καταπέψαι
honored was Tantalus this-one but for to-digest
μέγαν ὄλβον οὐκ ἐδυνάσθη, κόρῳ δ' ἔλεν
great prosperity not he-was-able through-surfeit and he-got
ἄταν ὑπέροπλον, ἅν οἱ πατὴρ
ruin overwhelming which for-him the-father
ὑπερκρέμασε καρτερὸν αὐτῷ λίθον,
hung-above mighty for-him stone
τὸν αἰεὶ μενοινῶν κεφαλᾶς βαλεῖν εὐφροσύνας ἀλᾶται.
which ever yearning from-his-head to-throw from-gladness he-wanders

ἔχει δ' ἀπάλαμον βίον τοῦτον ἐμπεδόμοχθον,
he-has and helpless life this toil-bound
μετὰ τριῶν τέταρτον πόνον, ἀθανάτων ὅτι κλέψαις
with three a-fourth toil from-the-immortals because having-stolen
ἁλίκεσσι συμπόταις
to-his-peers fellow-drinkers
νέκταρ ἀμβροσίαν τε
nectar ambrosia and
δῶκεν, οἷσιν ἄφθιτον
he-gave with-which immortal
θῆκαν. εἰ δὲ θεὸν ἀνήρ τις
they-had-made if and god man any
ἔλπεταί τι λαθέμεν ἔρδων, ἁμαρτάνει.
hopes something to-escape doing he-errs

τοὔνεκα προῆκαν υἱὸν ἀθάνατοί οἱ πάλιν
therefore sent-forth son the-immortals his back
μετὰ τὸ ταχύποτμον αὖτις ἀνέρων ἔθνος.
among the swift-fated again of-men race
πρὸς εὐάνθεμον δ' ὅτε φυὰν
toward blooming and when stature
λάχναι νιν μέλαν γένειον ἔρεφον.
downy-hairs him dark chin covered
ἑτοῖμον ἀνεφρόντισεν γάμον
ready he-turned-his-thoughts-to marriage

Πισάτα παρὰ πατρὸς εὔδοξον Ἱπποδάμειαν
Pisan from father glorious Hippodameia
σχεθέμεν. ἐγγὺς ἐλθὼν πολιᾶς ἁλὸς οἷος ἐν ὄρφνᾳ
to-win near coming gray sea alone in darkness
ἄπυεν βαρύκτυπον
he-called-on the-deep-thundering
Εὐτρίαιναν· ὁ δ' αὐτῷ
Fair-Trident he and to-him
πὰρ ποδὶ σχεδὸν φάνη.
beside foot close appeared
τῷ μὲν εἶπε· "Φίλια δῶρα Κυπρίας ἄγ'
to-him indeed he-said Dear gifts of-Cypris come
εἴ τι, Ποσείδαον, ἐς χάριν
if at-all Poseidon toward favor
τέλλεται, πέδασον ἔγχος Οἰνομάου χάλκεον,
count fetter the-spear of-Oenomaus bronze

ἐμὲ δ' ἐπὶ ταχυτάτων πόρευσον ἁρμάτων
me and on swiftest carry chariots
ἐς Ἄλιν, κράτει δὲ πέλασον.
to Elis to-victory and bring-me-near
ἐπεὶ τρεῖς τε καὶ δέκ' ἄνδρας ὀλέσαις
since three and also ten men having-killed
80 ἐρῶντας ἀναβάλλεται γάμον
suitors he-puts-off the-marriage

θυγατρός. ὁ μέγας δὲ κίνδυνος ἄναλκιν οὐ φῶτα λαμβάνει.
of-his-daughter the great but danger cowardly not man takes
θανεῖν δ' οἷσιν ἀνάγκα, τί κέ τις ἀνώνυμον
to-die and for-whom necessity why — anyone nameless
γῆρας ἐν σκότῳ καθήμενος ἕψοι μάταν,
old-age in darkness sitting would-nurse in-vain
ἁπάντων καλῶν ἄμμορος; ἀλλ' ἐμοὶ μὲν οὗτος ἄεθλος
of-all noble-things without-share but for-me indeed this contest
85 ὑποκείσεται· τὺ δὲ πρᾶξιν φίλαν δίδοι."
will-lie-ahead you and success dear grant
ὣς ἔννεπεν· οὐδ' ἀκράντοις ἐφάψατ' ὧν
so he-spoke nor unfulfilled he-touched then
ἔπεσι. τὸν μὲν ἀγάλλων θεὸς
words him indeed honoring the-god
ἔδωκεν δίφρον τε χρύσεον πτεροῖσίν τ' ἀκάμαντας ἵππους.
gave chariot both golden with-wings and tireless horses

ἔλεν δ' Οἰνομάου βίαν παρθένον τε σύνευνον·
he-overcame and of-Oenomaus the-might the-maiden and as-bedfellow
τέκε τε λαγέτας ἓξ ἀρεταῖσι μεμαότας υἱούς.
she-bore and leaders six for-excellences eager sons
νῦν δ' ἐν αἱμακουρίαις
now and in blood-offerings
ἀγλααῖσι μέμικται,
glorious he-is-mingled
Ἀλφεοῦ πόρῳ κλιθείς,
of-Alpheus by-the-stream reclining
τύμβον ἀμφίπολον ἔχων πολυξενωτάτῳ παρὰ βωμῷ. τὸ δὲ κλέος
tomb much-visited having most-frequented beside altar the and fame
τηλόθεν δέδορκε τᾶν Ὀλυμπιάδων ἐν δρόμοις
from-afar shines of-the Olympiads in races
Πέλοπος, ἵνα ταχυτὰς ποδῶν ἐρίζεται
of-Pelops where speed of-feet contends
ἀκμαί τ' ἰσχύος θρασύπονοι·
peaks and of-strength bold-in-toil
ὁ νικῶν δὲ λοιπὸν ἀμφὶ βίοτον
the victor and the-rest throughout life
ἔχει μελιτόεσσαν εὐδίαν
has honey-sweet fair-weather

ἀέθλων γ' ἕνεκεν. τὸ δ' αἰεὶ παράμερον ἐσλὸν
contests indeed for-the-sake-of the and ever day-by-day good
ὕπατον ἔρχεται παντὶ βροτῶν. ἐμὲ δὲ στεφανῶσαι
highest comes to-every of-mortals me and to-crown
κεῖνον ἱππίῳ νόμῳ
him in-the-horseman's strain
Αἰολῇδι μολπᾷ
in-Aeolian song
χρή· πέποιθα δὲ ξένον
it-is-needful I-trust and host
μή τιν', ἀμφότερα καλῶν τε ἴδριν
not any in-both of-noble-things both knowing
ἁμᾷ καὶ δύναμιν κυριώτερον,
at-once and in-power more-sovereign
τῶν γε νῦν κλυταῖσι δαιδαλωσέμεν ὕμνων πτυχαῖς.
of-those indeed now in-glorious to-adorn of-hymns folds
θεὸς ἐπίτροπος ἐὼν τεαῖσι μήδεται
a-god guardian being over-your devises
ἔχων τοῦτο κᾶδος, Ἱέρων,
having this care Hieron
μερίμναισιν· εἰ δὲ μὴ ταχὺ λίποι,
ambitions if and not soon he-should-leave
ἔτι γλυκυτέραν κεν ἔλπομαι
yet sweeter — I-hope

σὺν ἅρματι θοῷ κλεΐξειν, ἐπίκουρον εὑρὼν ὁδὸν λόγων
with chariot swift to-celebrate helpful finding road of-words

παρ᾽ εὐδείελον ἐλθὼν Κρόνιον. ἐμοὶ μὲν ὦν
to sunny coming Cronian-hill for-me indeed then

Μοῖσα καρτερώτατον βέλος ἀλκᾷ τρέφει·
the-Muse mightiest dart in-strength nurtures

ἐπ᾽ ἄλλοισι δ᾽ ἄλλοι μεγάλοι. τὸ δ᾽ ἔσχατον
in other-things and others great the but uttermost

κορυφοῦται βασιλεῦσι. μηκέτι πάπταινε πόρσιον.
reaches-its-peak for-kings no-longer peer farther

εἴη σέ τε τοῦτον ὑψοῦ χρόνον πατεῖν,
may-it-be you both this on-high time to-walk

ἐμέ τε τοσσάδε νικαφόροις
me and so-often with-victors

ὁμιλεῖν, πρόφαντον σοφίᾳ καθ᾽ Ἕλλανας ἐόντα παντᾷ.
to-consort conspicuous for-wisdom among Greeks being everywhere

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝΩ ΑΡΜΑΤΙ

II · FOR THERON OF ACRAGAS

The poet asks what god, hero, and man to sing, and names Zeus, Heracles, and Theron, victor in the chariot race. Theron's ancestors toiled before they prospered, as Cadmus' daughters Semele and Ino suffered before the gods honored them. Fortune turns, as it did for Laius' line, from which Theron descends. The dead are judged, and those who keep their souls pure three times reach the Isles of the Blessed, where Peleus, Cadmus, and Achilles dwell. No city has borne a more generous man.

Ἀναξιφόρμιγγες ὕμνοι,
Lyre-ruling hymns
τίνα θεόν, τίν' ἥρωα, τίνα δ' ἄνδρα κελαδήσομεν;
what god what hero what and man shall-we-celebrate
ἦτοι Πίσα μὲν Διός· Ὀλυμπιάδα δ' ἔστασεν Ἡρακλέης
truly Pisa indeed of-Zeus the-Olympiad and founded Heracles
ἀκρόθινα πολέμου·
as-first-fruits of-war
Θήρωνα δὲ τετραορίας ἕνεκα νικαφόρου
Theron and four-horse-chariot because-of victorious
γεγωνητέον, ὅπι δίκαιον ξένων, ἔρεισμ' Ἀκράγαντος,
one-must-proclaim in-regard just of-strangers bulwark of-Acragas
εὐωνύμων τε πατέρων ἄωτον ὀρθόπολιν·
of-renowned and fathers the-flower city-upholding

καμόντες οἳ πολλὰ θυμῷ
having-toiled who much in-spirit
ἱερὸν ἔσχον οἴκημα ποταμοῦ, Σικελίας τ' ἔσαν
sacred they-won dwelling of-the-river of-Sicily and they-were
ὀφθαλμός, αἰὼν δ' ἕφεπε μόρσιμος, πλοῦτόν τε καὶ χάριν ἄγων
the-eye time and followed fated wealth both and grace bringing
γνησίαις ἐπ' ἀρεταῖς.
genuine upon excellences
ἀλλ' ὦ Κρόνιε παῖ Ῥέας, ἕδος Ὀλύμπου νέμων
but O Cronian son of-Rhea seat of-Olympus ruling
ἀέθλων τε κορυφὰν πόρον τ' Ἀλφεοῦ, ἰανθεὶς ἀοιδαῖς
of-games and the-summit ford and of-Alpheus cheered by-songs
εὔφρων ἄρουραν ἔτι πατρίαν σφίσιν κόμισον
kindly land still ancestral for-them preserve

λοιπῷ γένει. τῶν δὲ πεπραγμένων
for-later generations of-the and done-things
ἐν δίκᾳ τε καὶ παρὰ δίκαν, ἀποίητον οὐδ' ἂν
in justice both and against justice undone not-even —
χρόνος ὁ πάντων πατὴρ δύναιτο θέμεν ἔργων τέλος·
time the of-all father could to-make of-deeds the-end
λάθα δὲ πότμῳ σὺν εὐδαίμονι γένοιτ' ἄν.
forgetfulness but fortune with happy may-come —
ἐσλῶν γὰρ ὑπὸ χαρμάτων πῆμα θνάσκει
good for under joys woe dies
παλίγκοτον δαμασθέν,
resurgent overpowered

ὅταν θεοῦ Μοῖρα πέμπῃ
when of-god Fate sends
ἀνεκὰς ὄλβον ὑψηλόν. ἕπεται δὲ λόγος εὐθρόνοις
upward prosperity high follows and the-word fair-throned
Κάδμοιο κούραις, ἔπαθον αἳ μεγάλα, πένθος δ' ἐπίτνει βαρὺ
of-Cadmus daughters suffered who great-things grief and falls heavy
κρεσσόνων πρὸς ἀγαθῶν.
greater before blessings
ζώει μὲν ἐν Ὀλυμπίοις ἀποθανοῖσα βρόμῳ
lives indeed among the-Olympians having-died by-the-roar
κεραυνοῦ ταννέθειρα Σεμέλα, φιλεῖ δέ νιν Παλλὰς αἰεί,
of-thunderbolt long-haired Semele loves and her Pallas ever
καὶ Ζεὺς πατὴρ μάλα, φιλεῖ δὲ παῖς ὁ κισσοφόρος·
and Zeus father greatly loves and son the ivy-bearing

λέγοντι δ' ἐν καὶ θαλάσσᾳ
they-say and in also sea
μετὰ κόραισι Νηρῆος ἁλίαις βίοτον ἄφθιτον
among daughters of-Nereus of-the-sea life immortal
Ἰνοῖ τετάχθαι τὸν ὅλον ἀμφὶ χρόνον.
for-Ino to-have-been-ordained the whole through time
ἤτοι βροτῶν γε κέκριται
truly of-mortals indeed is-fixed
πεῖρας οὔ τι θανάτου,
limit not at-all of-death
οὐδ' ἡσύχιμον ἀμέραν ὁπότε, παῖδ' ἁλίου,
nor peaceful day when child of-the-sun

ἀτειρεῖ σὺν ἀγαθῷ τελευτάσομεν· ῥοαὶ δ' ἄλλοτ' ἄλλαι
unworn with good we-shall-end streams and at-other-times other
εὐθυμιᾶν τε μετὰ καὶ πόνων ἐς ἄνδρας ἔβαν.
joys both with and toils to men came

οὕτω δὲ Μοῖρ', ἅ τε πατρώιον
so and Fate who — ancestral
τῶνδ' ἔχει τὸν εὔφρονα πότμον, θεόρτῳ σὺν ὄλβῳ
of-these holds the kindly fortune god-sent with prosperity
ἐπί τι καὶ πῆμ' ἄγει παλιντράπελον ἄλλῳ χρόνῳ·
besides some also woe brings turning-back at-another time
ἐξ οὗπερ ἔκτεινε Λᾶον μόριμος υἱὸς
from when killed Laius fated son
συναντόμενος, ἐν δὲ Πυθῶνι χρησθὲν
meeting in and Pytho the-oracle
παλαίφατον τέλεσσεν.
spoken-of-old fulfilled

ἰδοῖσα δ' ὀξεῖ' Ἐρινὺς
seeing and keen Erinys
ἔπεφνέ οἱ σὺν ἀλλαλοφονίᾳ γένος ἀρήιον·
slew his with mutual-slaughter race warlike
λείφθη δὲ Θέρσανδρος ἐριπέντι Πολυνείκει, νέοις ἐν ἀέθλοις
was-left and Thersander to-fallen Polynices new in contests
ἐν μάχαις τε πολέμου
in battles and of-war
τιμώμενος, Ἀδραστιδᾶν θάλος ἀρωγὸν δόμοις·
honored of-the-Adrastids scion helpful to-the-house

ὅθεν σπέρματος ἔχοντα ῥίζαν, πρέπει τὸν Αἰνησιδάμου
whence of-the-seed having the-root it-befits the of-Aenesidamus
ἐγκωμίων τε μελέων λυρᾶν τε τυγχανέμεν.
of-encomia both songs of-lyres and to-meet-with

Ὀλυμπίᾳ μὲν γὰρ αὐτὸς
at-Olympia indeed for himself
γέρας ἔδεκτο, Πυθῶνι δ' ὁμόκλαρον ἐς ἀδελφεὸν
prize received at-Pytho and sharing-the-lot to brother
Ἰσθμοῖ τε κοιναὶ Χάριτες ἄνθεα τεθρίππων δυωδεκαδρόμων
at-Isthmus and common Graces flowers of-four-horse-teams of-twelve-laps
ἄγαγον. τὸ δὲ τυχεῖν
brought the and to-succeed
πειρώμενον ἀγωνίας παραλύει δυσφρονᾶν.
attempting of-contest frees from-cares
ὁ μὰν πλοῦτος ἀρεταῖς δεδαιδαλμένος φέρει τῶν τε καὶ τῶν
the indeed wealth with-excellences adorned brings of-these both and of-those
καιρόν, βαθεῖαν ὑπέχων μέριμναν ἀγροτέραν,
opportunity deep supporting ambition keen-hunting

ἀστὴρ ἀρίζηλος, ἐτήτυμον
star conspicuous true
ἀνδρὶ φέγγος· εἰ δέ νιν ἔχων τις οἶδεν τὸ μέλλον,
for-a-man light if and it having one knows the future

ὅτι θανόντων μὲν ἐνθάδ' αὐτίκ' ἀπάλαμνοι φρένες
that of-those-dead indeed here at-once helpless spirits
ποινὰς ἔτισαν, τὰ δ' ἐν τᾷδε Διὸς ἀρχᾷ
penalties pay the and in this of-Zeus realm
ἀλιτρὰ κατὰ γᾶς δικάζει τις ἐχθρᾷ
sins below earth judges someone hateful
λόγον φράσαις ἀνάγκᾳ· 60
sentence pronouncing by-necessity

ἴσαις δὲ νύκτεσσιν αἰεί,
equal and nights always
ἴσαις δ' ἐν ἁμέραις ἅλιον ἔχοντες, ἀπονέστερον
equal and in days the-sun having less-toilsome
ἐσλοὶ δέκονται βίοτον, οὐ χθόνα ταράσσοντες ἐν χερὸς ἀκμᾷ
the-good receive life not earth troubling in of-hand strength
οὐδὲ πόντιον ὕδωρ
nor of-the-sea water
κεινὰν παρὰ δίαιταν· ἀλλὰ παρὰ μὲν τιμίοις 65
empty for livelihood but beside indeed honored
θεῶν, οἵτινες ἔχαιρον εὐορκίαις, ἄδακρυν νέμονται
of-the-gods who rejoiced in-oath-keeping tearless they-dwell-in
αἰῶνα· τοὶ δ' ἀπροσόρατον ὀκχέοντι πόνον
life those and not-to-be-looked-on endure toil

ὅσοι δ' ἐτόλμασαν ἐστρὶς
as-many-as and dared thrice
ἑκατέρωθι μείναντες ἀπὸ πάμπαν ἀδίκων ἔχειν
on-each-side remaining from wholly unjust-deeds to-keep
ψυχάν, ἔτειλαν Διὸς ὁδὸν παρὰ Κρόνου τύρσιν· ἔνθα μακάρων
soul travel of-Zeus road to of-Cronus tower where of-the-blessed
νᾶσος ὠκεανίδες
the-isle ocean
αὖραι περιπνέοισιν, ἄνθεμα δὲ χρυσοῦ φλέγει,
breezes blow-round flowers and of-gold blaze
τὰ μὲν χερσόθεν ἀπ' ἀγλαῶν δενδρέων, ὕδωρ δ' ἄλλα φέρβει,
some indeed from-the-land from splendid trees water and others nourishes
ὅρμοισι τῶν χέρας ἀναπλέκοντι καὶ στεφάνοις
with-chains of-these hands they-entwine and with-wreaths

βουλαῖς ἐν ὀρθαῖσι Ῥαδαμάνθυος,
counsels in upright of-Rhadamanthys
ὃν πατὴρ ἔχει μέγας ἑτοῖμον αὐτῷ πάρεδρον,
whom the-father has great ready for-himself assessor
πόσις ὁ πάντων Ῥέας ὑπέρτατον ἐχοίσας θρόνον.
husband the of-all of-Rhea highest having throne
Πηλεύς τε καὶ Κάδμος ἐν τοῖσιν ἀλέγονται·
Peleus both and Cadmus among them are-counted
Ἀχιλλέα τ' ἔνεικ', ἐπεὶ Ζηνὸς ἦτορ
Achilles and brought when of-Zeus heart
λιταῖς ἔπεισε, μάτηρ·
with-prayers persuaded his-mother

ὃς Ἕκτορ᾽ ἔσφαλε, Τροίας
who Hector felled of-Troy
ἄμαχον ἀστραβῆ κίονα, Κύκνον τε θανάτῳ πόρεν,
unconquerable unswerving pillar Cycnus and to-death gave
Ἀοῦς τε παῖδ᾽ Αἰθίοπα. πολλά μοι ὑπ᾽ ἀγκῶνος ὠκέα βέλη
of-Dawn and son Ethiopian many to-me under elbow swift shafts
ἔνδον ἐντι φαρέτρας
within are the-quiver
φωνᾶντα συνετοῖσιν· ἐς δὲ τὸ πὰν ἑρμηνέων
speaking to-the-wise for and the whole of-interpreters
χατίζει. σοφὸς ὁ πολλὰ εἰδὼς φυᾷ· μαθόντες δὲ λάβροι
needs wise the-one much knowing by-nature having-learned but boisterous
παγγλωσσίᾳ, κόρακες ὥς, ἄκραντα γαρύετον
in-wordiness crows like vain chatter

Διὸς πρὸς ὄρνιχα θεῖον.
of-Zeus against bird divine
ἔπεχε νῦν σκοπῷ τόξον, ἄγε θυμέ, τίνα βάλλομεν
aim now at-the-mark bow come heart whom do-we-strike
ἐκ μαλθακᾶς αὖτε φρενὸς εὐκλέας ὀϊστοὺς ἱέντες; ἐπί τοι
from gentle again mind glorious arrows sending at you-know
Ἀκράγαντι τανύσαις
Acragas having-bent
αὐδάσομαι ἐνόρκιον λόγον ἀλαθεῖ νόῳ
I-will-proclaim sworn word with-true mind
τεκεῖν μή τιν᾽ ἑκατόν γε ἐτέων πόλιν φίλοις ἄνδρα μᾶλλον
to-have-borne not any hundred indeed of-years city to-friends man more
εὐεργέταν πραπίσιν ἀφθονέστερόν τε χέρα
beneficent in-mind more-ungrudging and in-hand

Θήρωνος. ἀλλ᾽ αἶνον ἔβα κόρος
than-Theron but praise came-upon satiety
οὐ δίκᾳ συναντόμενος, ἀλλὰ μάργων ὑπ᾽ ἀνδρῶν,
not with-justice meeting but frenzied by men
τὸ λαλαγῆσαι ἐθέλων κρύφον τε θέμεν ἐσλῶν καλοῖς
the babbling wishing hidden and to-make of-the-good noble
ἔργοις· ἐπεὶ ψάμμος ἀριθμὸν περιπέφευγεν,
deeds since sand number has-escaped
καὶ κεῖνος ὅσα χάρματ᾽ ἄλλοις ἔθηκεν
and he how-many joys for-others made
τίς ἂν φράσαι δύναιτο;
who — to-tell could

ΘΗΡΩΝΙ ΑΚΡΑΓΑΝΤΙΝῼ ΑΡΜΑΤΙ ΕΙΣ ΘΕΟΞΕΝΙΑ

III · FOR THERON OF ACRAGAS

Honoring the Tyndarids and Helen with a hymn for Theron's chariot victory, the poet tells how the olive crown came to Olympia. Heracles founded the games for his father Zeus, but the land grew no trees. Pursuing the golden-horned hind, he had seen olives beyond the North Wind, so he persuaded the Hyperboreans to give a shoot. He entrusted the games to the Tyndarids, who grant Theron glory for his hospitality. Theron has reached the pillars of Heracles.

Τυνδαρίδαις τε φιλοξείνοις ἀδεῖν καλλιπλοκάμῳ θ' Ἑλένᾳ
to-the-Tyndarids both hospitable to-please fair-tressed and Helen
κλεινὰν Ἀκράγαντα γεραίρων εὔχομαι,
famous Acragas honoring I-pray
Θήρωνος Ὀλυμπιονίκαν ὕμνον ὀρθώσαις, ἀκαμαντοπόδων
of-Theron Olympic-victor's hymn having-raised of-tireless-footed
ἵππων ἄωτον. Μοῖσα δ' οὕτω ποι
of-horses the-flower the-Muse and so somehow
παρέστα μοι νεοσίγαλον εὑρόντι τρόπον
stood-by me new-gleaming finding a-mode
Δωρίῳ φωνὰν ἐναρμόξαι πεδίλῳ 5
to-Dorian voice to-fit sandal

ἀγλαόκωμον. ἐπεὶ χαίταισι μὲν ζευχθέντες ἔπι στέφανοι
of-splendid-revel since hair indeed yoked upon wreaths
πράσσοντί με τοῦτο θεόδματον χρέος,
exact from-me this god-built debt

φόρμιγγά τε ποικιλόγαρυν καὶ βοὰν αὐλῶν ἐπέων τε θέσιν
lyre both many-voiced and cry of-pipes of-words and setting
Αἰνησιδάμου παιδὶ συμμῖξαι πρεπόντως,
of-Aenesidamus to-the-son to-blend fittingly
ἅ τε Πίσα με γεγωνεῖν· τᾶς ἄπο
the and Pisa me to-proclaim which from
θεόμοροι νίσονθ' ἑπ' ἀνθρώπους ἀοιδαί,
god-allotted go to men songs

ᾧ τινι, κραίνων ἐφετμὰς Ἡρακλέος προτέρας,
on-whom ever fulfilling commands of-Heracles earlier
ἀτρεκὴς Ἑλλανοδίκας γλεφάρων Αἰτωλὸς ἀνὴρ ὑψόθεν
unerring the-Greek-judge from-the-brows Aetolian man above
ἀμφὶ κόμαισι βάλῃ γλαυκόχροα κόσμον ἐλαίας· τάν ποτε
around hair casts gray-green adornment of-olive which once
Ἴστρου ἀπὸ σκιαρᾶν παγᾶν ἔνεικεν Ἀμφιτρυωνιάδας,
of-Ister from shady springs brought the-son-of-Amphitryon
μνᾶμα τῶν Οὐλυμπίᾳ κάλλιστον ἄθλων
memorial of-the at-Olympia fairest of-contests

δᾶμον Ὑπερβορέων πείσαις Ἀπόλλωνος θεράποντα λόγῳ.
the-people of-the-Hyperboreans persuading of-Apollo servant by-word
πιστὰ φρονέων Διὸς αἴτει πανδόκῳ
loyal thinking of-Zeus he-asked for-all-receiving
ἄλσει σκιαρόν τε φύτευμα ξυνὸν ἀνθρώποις
grove shady both plant common to-men
στέφανόν τ' ἀρετᾶν.
crown and of-excellences

ἤδη γὰρ αὐτῷ, πατρὶ μὲν βωμῶν ἁγισθέντων,
already for to-him to-the-father indeed altars having-been-hallowed
διχόμηνις ὅλον χρυσάρματος
mid-month whole golden-charioted
ἑσπέρας ὀφθαλμὸν ἀντέφλεξε Μήνα,
of-evening eye lit-full the-Moon

καὶ μεγάλων ἀέθλων ἁγνὰν κρίσιν καὶ πενταετηρίδ' ἁμᾶ
and of-great contests holy judging and the-five-year-feast together
θῆκε ζαθέοις ἐπὶ κρημνοῖς Ἀλφεοῦ·
he-set very-holy on banks of-Alpheus
ἀλλ' οὐ καλὰ δένδρε' ἔθαλλεν χῶρος
but not fair trees grew the-land
ἐν βάσσαις Κρονίου Πέλοπος.
in glens of-the-Cronian-hill of-Pelops
τούτων ἔδοξεν γυμνὸς αὐτῷ κᾶπος ὀξείαις
of-these seemed bare to-him garden to-sharp
ὑπακουέμεν αὐγαῖς ἁλίου.
to-be-subject rays of-the-sun
δὴ τότ' ἐς γαῖαν πορεύεν θυμὸς ὥρμα
indeed then to land to-journey his-heart urged

Ἰστρίαν νιν· ἔνθα Λατοῦς ἱπποσόα θυγάτηρ
Istrian him where of-Leto horse-driving daughter
δέξατ' ἐλθόντ' Ἀρκαδίας ἀπὸ δειρᾶν καὶ πολυγνάμπτων μυχῶν,
received coming of-Arcadia from ridges and many-winding recesses

εὖτέ νιν ἀγγελίαις Εὐρυσθέος ἔντυ᾽ ἀνάγκα πατρόθεν
when him by-commands of-Eurystheus urged necessity from-his-father
χρυσόκερων ἔλαφον θήλειαν ἄξονθ᾽, ἅν ποτε Ταϋγέτα
golden-horned deer female going-to-fetch which once Taygeta
ἀντιθεῖσ᾽ Ὀρθωσίᾳ ἔγραψεν ἱράν.
dedicating to-Orthosia inscribed sacred

τὰν μεθέπων ἴδε καὶ κείναν χθόνα πνοιᾶς ὄπιθεν Βορέα
her pursuing he-saw also that land blast behind of-Boreas
ψυχροῦ. τόθι δένδρεα θάμβαινε σταθείς.
cold there trees he-marveled-at standing
τῶν νιν γλυκὺς ἵμερος ἔσχεν δωδεκάγναμπτον
of-them him sweet longing seized twelve-turned
περὶ τέρμα δρόμου
around goal of-the-course
ἵππων φυτεῦσαι. καί νυν ἐς ταύταν ἑορτὰν
of-horses to-plant and now to this feast
ἵλαος ἀντιθέοισιν νίσσεται
gracious with-the-godlike comes
σὺν βαθυζώνου διδύμοις παισὶ Λήδας.
with of-deep-girdled twin sons Leda

τοῖς γὰρ ἐπέτραπεν Οὐλυμπόνδ᾽ ἰὼν θαητὸν ἀγῶνα νέμειν
to-them for he-entrusted to-Olympus going wondrous contest to-manage
ἀνδρῶν τ᾽ ἀρετᾶς πέρι καὶ ῥιμφαρμάτου
of-men and excellence about and swift-chariot
διφρηλασίας. ἐμὲ δ᾽ ὦν πᾳ θυμὸς ὀτρύνει φάμεν Ἐμμενίδαις
driving me and then somehow heart urges to-say to-the-Emmenids

Θήρωνί τ᾽ ἐλθεῖν κῦδος, εὐΐππων διδόντων
to-Theron and to-have-come glory well-horsed granting
Τυνδαριδᾶν, ὅτι πλείσταισι βροτῶν
the-Tyndarids because with-most of-mortals
ξεινίαις αὐτοὺς ἐποίχονται τραπέζαις,
with-hospitable them they-attend tables

εὐσεβεῖ γνώμᾳ φυλάσσοντες μακάρων τελετάς.
with-pious mind keeping of-the-blessed rites
εἰ δ᾽ ἀριστεύει μὲν ὕδωρ, κτεάνων δὲ χρυσὸς αἰδοιέστατος,
if and is-best indeed water of-possessions and gold most-revered
νῦν δὲ πρὸς ἐσχατιὰν Θήρων ἀρεταῖσιν ἱκάνων ἅπτεται
now and to farthest-limit Theron by-excellences reaching touches
οἴκοθεν Ἡρακλέος σταλᾶν. τὸ πόρσω δ᾽ ἔστι σοφοῖς ἄβατον
from-home of-Heracles pillars the beyond and is for-wise untrodden
κἀσόφοις. οὔ νιν διώξω· κεινὸς εἴην.
and-for-unwise not it I-will-pursue foolish may-I-be

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩ ΑΡΜΑΤΙ

IV · FOR PSAUMIS OF CAMARINA

The poet calls on Zeus, lord of Etna, to receive the revel for Psaumis, victor with the chariot, who brings glory to Camarina. He praises Psaumis' horse-breeding, hospitality, and love of peace. Trial is the test of mortals, as it was for the son of Clymenus, whom it freed from dishonor among the Lemnian women: winning the race in armor, he told Hypsipyle that gray hair often grows even on young men.

Ἐλατὴρ ὑπέρτατε βροντᾶς ἀκαμαντόποδος Ζεῦ· τεαὶ γὰρ ὧραι
Driver highest of-thunder tireless-footed Zeus your for seasons
ὑπὸ ποικιλοφόρμιγγος ἀοιδᾶς ἑλισσόμεναί μ' ἔπεμψαν
to many-toned-lyre song circling me sent
ὑψηλοτάτων μάρτυρ' ἀέθλων.
of-loftiest witness contests
ξείνων δ' εὖ πρασσόντων ἔσαναν αὐτίκ' ἀγγελίαν
of-friends and well faring rejoice at-once news
ποτὶ γλυκεῖαν ἐσλοί.
at sweet the-good
ἀλλ', ὦ Κρόνου παῖ, ὃς Αἴτναν ἔχεις,
but O of-Cronus son who Etna hold
ἶπον ἀνεμόεσσαν ἑκατογκεφάλα Τυφῶνος ὀβρίμου,
weight windy of-hundred-headed Typhon mighty
Οὐλυμπιονίκαν δέκευ
Olympic-victor's receive
Χαρίτων ἕκατι τόνδε κῶμον,
Graces for-the-sake-of this revel

χρονιώτατον φάος εὐρυσθενέων ἀρετᾶν. Ψαύμιος γὰρ ἵκει
longest-lasting light of-widely-mighty excellences of-Psaumis for it-comes
ὀχέων, ὅς, ἐλαίᾳ στεφανωθεὶς Πισάτιδι, κῦδος ὄρσαι
of-chariots who with-olive crowned Pisan glory to-raise
σπεύδει Καμαρίνᾳ. θεὸς εὔφρων
hastens for-Camarina god kindly
εἴη λοιπαῖς εὐχαῖς· ἐπεί νιν αἰνέω μάλα μὲν
may-he-be to-remaining prayers since him I-praise very indeed
τροφαῖς ἑτοῖμον ἵππων,
in-rearings ready of-horses
χαίροντά τε ξενίαις πανδόκοις
rejoicing and in-hospitality all-receiving
καὶ πρὸς ἀσυχίαν φιλόπολιν καθαρᾷ γνώμᾳ τετραμμένον.
and toward peace city-loving with-pure mind turned
οὐ ψεύδεϊ τέγξω λόγον·
not with-falsehood I-will-stain word
διάπειρά τοι βροτῶν ἔλεγχος·
trial you-know of-mortals test

ἅπερ Κλυμένοιο παῖδα
which of-Clymenus the-son
Λαμνιάδων γυναικῶν
of-Lemnian women
ἔλυσεν ἐξ ἀτιμίας.
freed from dishonor
χαλκέοισι δ' ἐν ἔντεσι νικῶν δρόμον
bronze and in armor winning race
ἔειπεν Ὑψιπυλείᾳ μετὰ στέφανον ἰών·
he-said to-Hypsipyle for crown going

“Οὗτος ἐγὼ ταχυτᾶτι·
This-one I in-speed
χεῖρες δὲ καὶ ἦτορ ἴσον.
hands and also heart equal
φύονται δὲ καὶ νέοις ἐν ἀνδράσιν
grow and even young in men
πολιαὶ θαμὰ καὶ παρὰ τὸν ἁλικίας
gray-hairs often even beyond the of-age
ἐοικότα χρόνον.”
fitting time

ΨΑΥΜΙΔΙ ΚΑΜΑΡΙΝΑΙΩ ΑΠΗΝΗ

V · FOR PSAUMIS OF CAMARINA

The poet asks Ocean's daughter Camarina to receive Psaumis' victory with the mule-car. Psaumis honored the six double altars of the gods with feasts and contests, and he proclaims his father Acron and his new city. Returning from Olympia, he sings of Pallas' grove, the river Oanis, the lake, and the Hipparis that waters the people. The poet prays to Zeus for the city and for Psaumis' cheerful old age among his sons. A prosperous man should not seek to become a god.

Ὑψηλᾶν ἀρετᾶν καὶ στεφάνων ἄωτον γλυκὺν
Of-lofty excellences and of-crowns flower sweet
τῶν Οὐλυμπίᾳ, Ὠκεανοῦ θύγατερ, καρδίᾳ γελανεῖ
of-the at-Olympia of-Ocean daughter with-heart smiling
ἀκαμαντόποδός τ' ἀπήνας δέκευ Ψαύμιός τε δῶρα·
of-tireless-footed and the-mule-car receive of-Psaumis and gifts

ὃς τὰν σὰν πόλιν αὔξων, Καμάρινα, λαοτρόφον
who the your city exalting Camarina people-nourishing
βωμοὺς ἓξ διδύμους ἐγέραιρεν ἑορταῖς θεῶν μεγίσταις
altars six twin honored with-feasts of-gods greatest
ὑπὸ βουθυσίαις ἀέθλων τε πεμπαμέροις ἁμίλλαις,
with ox-sacrifices of-contests and five-day rivalries

ἵπποις ἡμιόνοις τε μοναμπυκίᾳ τε. τὶν δὲ κῦδος ἁβρόν
with-horses mules and single-horse-racing and to-you and glory luxurious
νικάσαις ἀνέθηκε, καὶ ὃν πατέρ᾽ Ἄκρων᾽
having-won he-dedicated and his father Acron
ἐκάρυξε καὶ τὰν νέοικον ἕδραν.
proclaimed and the newly-settled seat

ἵκων δ᾽ Οἰνομάου καὶ Πέλοπος παρ᾽ εὐηράτων
coming and of-Oenomaus and of-Pelops from lovely
10 σταθμῶν, ὦ πολιάοχε Παλλάς, ἀείδει μὲν ἄλσος ἁγνὸν
steadings O city-holding Pallas he-sings indeed grove holy
τὸ τεόν, ποταμόν τε Ὤανιν, ἐγχωρίαν τε λίμναν,
the your river and Oanis native and lake

καὶ σεμνοὺς ὀχετούς, Ἵππαρις οἷσιν ἄρδει στρατόν,
and holy channels Hipparis with-which waters the-people
κολλᾷ τε σταδίων θαλάμων ταχέως ὑψίγυιον ἄλσος,
glues and of-firm chambers swiftly high-limbed forest
ἀπ᾽ ἀμαχανίας ἄγων ἐς φάος τόνδε δᾶμον ἀστῶν·
from helplessness bringing to light this people of-citizens

15 αἰεὶ δ᾽ ἀμφ᾽ ἀρεταῖσι πόνος δαπάνα τε μάρναται πρὸς ἔργον
ever and for excellences toil expense and strive toward work
κινδύνῳ κεκαλυμμένον· ἠῢ δ᾽ ἔχοντες
in-danger veiled well and having
σοφοὶ καὶ πολίταις ἔδοξαν ἔμμεν.
wise even to-citizens seemed to-be

Σωτὴρ ὑψινεφὲς Ζεῦ, Κρόνιόν τε ναίων λόφον
Savior high-clouded Zeus Cronian and dwelling-on hill
τιμῶν τ᾽ Ἀλφεὸν εὐρὺ ῥέοντ᾽ Ἰδαῖόν τε σεμνὸν ἄντρον,
honoring and Alpheus widely flowing Idaean and holy cave
ἱκέτας σέθεν ἔρχομαι Λυδίοις ἀπύων ἐν αὐλοῖς,
suppliant your I-come Lydian crying in pipes

αἰτήσων πόλιν εὐανορίαισι τάνδε κλυταῖς
to-ask city with-manly-valor this glorious
δαιδάλλειν, σέ τ᾽, Ὀλυμπιόνικε, Ποσειδανίαισιν ἵπποις
to-adorn you and Olympic-victor in-Poseidon's horses
ἐπιτερπόμενον φέρειν γῆρας εὔθυμον ἐς τελευτάν,
delighting to-bear old-age cheerful to end

υἱῶν, Ψαῦμι, παρισταμένων. ὑγίεντα δ᾽ εἴ τις ὄλβον ἄρδει,
sons Psaumis standing-by healthy and if anyone prosperity waters
ἐξαρκέων κτεάτεσσι καὶ εὐλογίαν προστιθείς,
having-enough in-possessions and good-report adding
μὴ ματεύσῃ θεὸς γενέσθαι.
not let-him-seek god to-become

ΑΓΗΣΙΑ ΣΥΡΑΚΟΣΙΩ ΑΠΗΝΗ

VI · FOR HAGESIAS OF SYRACUSE

Like a builder setting golden pillars before a hall, the poet begins with Hagesias, victor with the mule-car and seer at Zeus' altar in Olympia, whom he praises as Adrastus praised Amphiaraus. He tells how Pitana bore Poseidon's daughter Evadne, how Evadne bore Apollo's son Iamus and left him, where serpents fed him honey, and how Apollo granted Iamus prophecy at Olympia. The poet bids Aeneas lead the chorus and remember Syracuse and Hieron, and prays to Poseidon for Hagesias' voyage home.

Χρυσέας ὑποστάσαντες εὐτειχεῖ προθύρῳ θαλάμου
Golden setting-under well-walled to-the-porch of-the-chamber
κίονας, ὡς ὅτε θαητὸν μέγαρον
columns as when wondrous hall
πάξομεν· ἀρχομένου δ' ἔργου πρόσωπον
we-shall-build of-beginning and work the-front
χρὴ θέμεν τηλαυγές. εἰ δ' εἴη μὲν Ὀλυμπιονίκας,
one-must to-make far-shining if and he-be indeed Olympic-victor
βωμῷ τε μαντείῳ ταμίας Διὸς ἐν Πίσᾳ,
to-the-altar and prophetic steward of-Zeus in Pisa
συνοικιστήρ τε τᾶν κλεινᾶν Συρακοσσᾶν· τίνα κεν φύγοι ὕμνον
co-founder and of-the famous Syracuse what — could-escape hymn
κεῖνος ἀνήρ, ἐπικύρσαις ἀφθόνων ἀστῶν ἐν ἱμερταῖς ἀοιδαῖς;
that man meeting with-ungrudging citizens in lovely songs

ἴστω γὰρ ἐν τούτῳ πεδίλῳ δαιμόνιον πόδ' ἔχων
let-him-know for in this sandal divine foot having
Σωστράτου υἱός. ἀκίνδυνοι δ' ἀρεταὶ
of-Sostratus the-son without-danger but excellences
οὔτε παρ' ἀνδράσιν οὔτ' ἐν ναυσὶ κοίλαις
neither among men nor in ships hollow
τίμιαι· πολλοὶ δὲ μέμνανται, καλὸν εἴ τι ποναθῇ.
honored many and remember fair if something be-toiled-for
Ἀγησία, τὶν δ' αἶνος ἑτοῖμος, ὃν ἐν δίκᾳ
Hagesias for-you and praise ready which in justice
ἀπὸ γλώσσας Ἄδραστος μάντιν Οἰκλείδαν ποτ' ἐς Ἀμφιάρηον
from tongue Adrastus the-seer son-of-Oecles once to Amphiaraus
φθέγξατ', ἐπεὶ κατὰ γαῖ' αὐτόν τέ νιν
uttered when down earth himself both him
καὶ φαιδίμας ἵππους ἔμαρψεν.
and shining mares seized

ἑπτὰ δ' ἔπειτα πυρᾶν νεκρῶν τελεσθεισᾶν Ταλαϊονίδας
seven and then pyres of-the-dead having-been-completed the-son-of-Talaus
εἶπεν ἐν Θήβαισι τοιοῦτόν τι ἔπος·
said in Thebes such some word
"Ποθέω στρατιᾶς ὀφθαλμὸν ἐμᾶς,
I-miss of-the-army the-eye my
ἀμφότερον μάντιν τ' ἀγαθὸν καὶ δουρὶ μάρνασθαι." τὸ καὶ
in-both seer both good and with-spear to-fight that also
ἀνδρὶ κώμου δεσπότᾳ πάρεστι Συρακοσίῳ.
to-the-man of-the-revel lord belongs Syracusan
οὔτε δύσηρις ἐὼν οὔτ' ὢν φιλόνικος ἄγαν,
neither quarrelsome being nor then contentious too-much

καὶ μέγαν ὅρκον ὀμόσσαις τοῦτό γέ οἱ σαφέως
and great oath having-sworn this indeed for-him clearly
μαρτυρήσω· μελίφθογγοι δ' ἐπιτρέψοντι Μοῖσαι.
I-will-witness sweet-voiced and will-assent Muses

ὦ Φίντις, ἀλλὰ ζεῦξον ἤδη μοι σθένος ἡμιόνων,
O Phintis but yoke now for-me the-strength of-mules
ᾇ τάχος, ὄφρα κελεύθῳ τ' ἐν καθαρᾷ
with-all speed so-that road and in clear
βάσομεν ὄκχον, ἵκωμαί τε πρὸς ἀνδρῶν
we-may-set chariot I-may-come and to of-men
καὶ γένος· κεῖναι γὰρ ἐξ ἀλλᾶν ὁδὸν ἀγεμονεῦσαι
even race they for out-of others road to-lead
ταύταν ἐπίστανται, στεφάνους ἐν Ὀλυμπίᾳ
this know crowns in Olympia
ἐπεὶ δέξαντο· χρὴ τοίνυν πύλας ὕμνων ἀναπίταμεν αὐταῖς·
since they-received one-must therefore gates of-hymns to-open for-them
πρός Πιτάναν δὲ παρ' Εὐρώτα πόρον
to Pitana and by of-Eurotas ford
δεῖ σάμερόν μ' ἐλθεῖν ἐν ὥρᾳ·
one-must today me to-go in season

ἅ τοι Ποσειδάωνι μιχθεῖσα Κρονίῳ λέγεται
who you-know with-Poseidon having-lain son-of-Cronus is-said
παῖδα ἰόπλοκον Εὐάδναν τεκέμεν.
child violet-haired Evadne to-have-borne
κρύψε δὲ παρθενίαν ὠδῖνα κόλποις·
she-hid and maiden travail in-folds

κυρίῳ δ' ἐν μηνὶ πέμποισ' ἀμφιπόλους ἐκέλευσεν
appointed and in month sending handmaids she-bade
ἥρωι πορσαίνειν δόμεν Εἰλατίδᾳ βρέφος,
to-the-hero to-arrange to-give son-of-Eilatus the-babe
ὃς ἀνδρῶν Ἀρκάδων ἄνασσε Φαισάνᾳ λάχε τ' Ἀλφεὸν οἰκεῖν·
who of-men Arcadians ruled at-Phaesana was-allotted and Alpheus to-dwell-by
ἔνθα τραφεῖσ' ὑπ' Ἀπόλλωνι γλυκείας
there raised by Apollo of-sweet
πρῶτον ἔψαυσ' Ἀφροδίτας.
first she-touched Aphrodite

οὐδ' ἔλαθ' Αἴπυτον ἐν παντὶ χρόνῳ κλέπτοισα θεοῖο γόνον.
nor did-she-escape Aepytus in all time hiding of-the-god the-offspring
ἀλλ' ὁ μὲν Πυθώναδ', ἐν θυμῷ πιέσαις
but he indeed to-Pytho in heart pressing
χόλον οὐ φατὸν ὀξείᾳ μελέτᾳ,
anger not speakable with-keen care
ᾤχετ' ἰὼν μαντευσόμενος ταύτας περ' ἀτλάτου πάθας.
went going to-consult-the-oracle this about unbearable suffering
ἁ δὲ φοινικόκροκον ζώναν καταθηκαμένα
she and crimson girdle having-laid-down
κάλπιδά τ' ἀργυρέαν, λόχμας ὑπὸ κυανέας
pitcher and silver thicket under dark
τίκτε θεόφρονα κοῦρον. τᾷ μὲν ὁ Χρυσοκόμας
bore a-god-minded boy to-her indeed — Golden-haired
πραΰμητίν τ' Ἐλείθυιαν παρέστασέν τε Μοίρας·
gentle-minded and Eleithyia set-beside and the-Fates

ἦλθεν δ' ὑπὸ σπλάγχνων ὑπ' ὠδῖνός τ' ἐρατᾶς Ἴαμος
came and from womb from travail and lovely Iamus
ἐς φάος αὐτίκα. τὸν μὲν κνιζομένα
to light at-once him indeed distressed
45 λεῖπε χαμαί· δύο δὲ γλαυκῶπες αὐτὸν
she-left on-the-ground two and gray-eyed him
δαιμόνων βουλαῖσιν ἐθρέψαντο δράκοντες ἀμεμφεῖ
of-gods by-the-counsels nursed serpents with-harmless
ἰῷ μελισσᾶν καδόμενοι. βασιλεὺς δ' ἐπεὶ
venom of-bees caring-for the-king and when
πετραέσσας ἐλαύνων ἵκετ' ἐκ Πυθῶνος, ἅπαντας ἐν οἴκῳ
rocky driving came from Pytho all in house
εἴρετο παῖδα, τὸν Εὐάδνα τέκοι·
he-asked-about the-child whom Evadne bore
Φοίβου γὰρ αὐτὸν φᾶ γεγάκειν
of-Phoebus for him he-said to-have-been-born

50 πατρός, περὶ θνατῶν δ' ἔσεσθαι μάντιν ἐπιχθονίοις
father above mortals and to-be a-seer for-men-on-earth
ἔξοχον, οὐδέ ποτ' ἐκλείψειν γενεάν.
eminent nor ever to-fail the-race
ὣς ἄρα μάννε. τοὶ δ' οὔτ' ὢν ἀκοῦσαι
so then he-declared they and neither then to-have-heard
οὔτ' ἰδεῖν εὔχοντο πεμπταῖον γεγενημένον. ἀλλ' ἐν
nor to-have-seen claimed on-the-fifth-day born but in
κέκρυπτο γὰρ σχοίνῳ βατιᾷ τ' ἐν ἀπειράτῳ,
he-was-hidden for rush bramble and in boundless

ἴων ξανθαῖσι καὶ παμπορφύροις ἀκτῖσι βεβρεγμένος ἁβρὸν
of-violets with-yellow and all-purple rays drenched tender
σῶμα· τὸ καὶ κατεφάμιξεν καλεῖσθαί νιν
body therefore also declared to-be-called him
χρόνῳ σύμπαντι μάτηρ
for-time all the-mother

τοῦτ᾽ ὄνυμ᾽ ἀθάνατον. τερπνᾶς δ᾽ ἐπεὶ χρυσοστεφάνοιο λάβεν
this name immortal of-delightful and when golden-crowned he-took
καρπὸν Ἥβας, Ἀλφεῷ μέσσῳ καταβὰς
the-fruit Youth in-Alpheus mid going-down
ἐκάλεσσε Ποσειδᾶν᾽ εὐρυβίαν,
he-called-on Poseidon wide-ruling
ὃν πρόγονον, καὶ τοξοφόρον Δάλου θεοδμάτας σκοπόν,
his ancestor and the-bow-bearing of-Delos god-built watcher
αἰτέων λαοτρόφον τιμάν τιν᾽ ἑᾷ κεφαλᾷ,
asking people-nourishing honor some for-his head
νυκτὸς ὑπαίθριος. ἀντεφθέγξατο δ᾽ ἀρτιεπὴς
at-night under-the-open-sky answered and unerring
πατρία ὄσσα, μετάλλασέν τέ νιν· “Ὄρσο, τέκος,
paternal voice sought and him Rise child
δεῦρο πάγκοινον ἐς χώραν ἴμεν φάμας ὄπισθεν.”
here all-shared to land to-go the-voice behind

ἵκοντο δ' ὑψηλοῖο πέτραν ἀλίβατον Κρονίου·
they-came and of-lofty to-the-rock steep the-Cronian-hill
ἔνθα οἱ ὤπασε θησαυρὸν δίδυμον
there to-him he-granted treasure twofold
μαντοσύνας, τόκα μὲν φωνὰν ἀκούειν
of-prophecy then indeed the-voice to-hear
ψευδέων ἄγνωστον, εὖτ' ἂν δὲ θρασυμάχανος ἐλθὼν
of-falsehoods unknown when — and bold-devising coming
Ἡρακλέης, σεμνὸν θάλος Ἀλκαϊδᾶν, πατρὶ
Heracles holy scion of-the-Alcaidae for-his-father
ἑορτάν τε κτίσῃ πλειστόμβροτον τεθμόν τε μέγιστον ἀέθλων,
a-feast both founds thronged ordinance and greatest of-contests
Ζηνὸς ἐπ' ἀκροτάτῳ βωμῷ τότ' αὖ
of-Zeus on topmost altar then in-turn
χρηστήριον θέσθαι κέλευσεν.
oracle to-set-up he-bade

ἐξ οὗ πολύκλειτον καθ' Ἕλλανας γένος Ἰαμιδᾶν.
from which much-famed among Greeks the-race of-the-Iamidae
ὄλβος ἅμ' ἕσπετο· τιμῶντες δ' ἀρετὰς
prosperity together followed honoring and excellences
ἐς φανερὰν ὁδὸν ἔρχονται. τεκμαίρει
to manifest road they-go bears-witness
χρῆμ' ἕκαστον· μῶμος ἐξ ἄλλων κρέμαται φθονεόντων
deed each blame from others hangs envious

τοῖς, οἷς ποτε πρώτοις περὶ δωδέκατον δρόμον
over-those on-whom ever first around twelfth course
ἐλαυνόντεσσιν αἰδοία ποτιστάξῃ Χάρις εὐκλέα μορφάν.
driving revered drops Grace glorious beauty
εἰ δ' ἐτύμως ὑπὸ Κυλλάνας ὅροις, Ἀγησία, μάτρωες ἄνδρες
if and truly under of-Cyllene the-ridges Hagesias maternal men

ναιετάοντες ἐδώρησαν θεῶν κάρυκα λιταῖς θυσίαις
dwelling gave of-the-gods the-herald with-supplicating sacrifices
πολλὰ δὴ πολλαῖσιν Ἑρμᾶν εὐσεβέως,
many indeed with-many Hermes piously
ὃς ἀγῶνας ἔχει μοιράν τ' ἀέθλων
who contests holds the-lot and of-games
Ἀρκαδίαν τ' εὐάνορα τιμᾷ· κεῖνος, ὦ παῖ Σωστράτου,
Arcadia and with-good-men honors he O son of-Sostratus
σὺν βαρυγδούπῳ πατρὶ κραίνει σέθεν εὐτυχίαν.
with deep-thundering father accomplishes your good-fortune
δόξαν ἔχω τιν' ἐπὶ γλώσσᾳ ἀκόνας λιγυρᾶς,
a-feeling I-have some on tongue of-whetstone shrill
ἅ μ' ἐθέλοντα προσέρπει καλλιρόοισι πνοαῖς·
which me willing comes-over with-fair-flowing breaths
ματρομάτωρ ἐμὰ Στυμφαλίς, εὐανθὴς Μετώπα,
grandmother my Stymphalian flowery Metope

πλάξιππον ἃ Θήβαν ἔτικτεν, τᾶς ἐρατεινὸν ὕδωρ
horse-driving who Theba bore of-whom lovely water
πίομαι, ἀνδράσιν αἰχματαῖσι πλέκων
I-shall-drink for-men spearmen weaving
ποικίλον ὕμνον. ὄτρυνον νῦν ἑταίρους,
intricate hymn rouse now your-companions
Αἰνέα, πρῶτον μὲν Ἥραν Παρθενίαν κελαδῆσαι,
Aeneas first indeed Hera Maiden to-celebrate
γνῶναί τ' ἔπειτ', ἀρχαῖον ὄνειδος ἀλαθέσιν
to-know and then ancient reproach with-true
λόγοις εἰ φεύγομεν, Βοιωτίαν ὖν. ἐσσὶ γὰρ ἄγγελος ὀρθός,
words whether we-escape Boeotian sow you-are for messenger true
ἠϋκόμων σκυτάλα Μοισᾶν, γλυκὺς
of-lovely-haired staff Muses sweet
κρατὴρ ἀγαφθέγκτων ἀοιδᾶν·
bowl of-loud-sounding songs

εἰπὸν δὲ μεμνᾶσθαι Συρακοσσᾶν τε καὶ Ὀρτυγίας·
tell and to-remember Syracuse both and Ortygia
τὰν Ἱέρων καθαρῷ σκάπτῳ διέπων,
which Hieron with-pure scepter governing
ἄρτια μηδόμενος, φοινικόπεζαν
fitting-things devising crimson-footed
ἀμφέπει Δάματρα, λευκίππου τε θυγατρὸς ἑορτάν,
attends Demeter of-white-horsed and daughter feast

καὶ Ζηνὸς Αἰτναίου κράτος. ἁδύλογοι δέ νιν
and of-Zeus of-Etna power sweet-worded and him
λύραι μολπαί τε γιγνώσκοντι. μὴ θράσσοι
lyres songs and know not may-disturb
χρόνος ὄλβον ἐφέρπων.
time prosperity creeping-on
σὺν δὲ φιλοφροσύναις εὐηράτοις Ἁγησία δέξαιτο κῶμον
with and kindliness lovely Hagesias may-be-receive the-revel

οἴκοθεν οἴκαδ' ἀπὸ Στυμφαλίων τειχέων ποτινισσόμενον,
from-home homeward from Stymphalian walls coming
ματέρ' εὐμήλοιο λείποντ' Ἀρκαδίας.
mother of-flock-rich leaving Arcadia
ἀγαθαὶ δὲ πέλοντ' ἐν χειμερίᾳ
good and are in wintry
νυκτὶ θοᾶς ἐκ ναὸς ἀπεσκίμφθαι δύ' ἄγκυραι. θεὸς
night swift from ship to-have-been-cast two anchors the-god
τῶν τε κείνων τε κλυτὰν αἶσαν παρέχοι φιλέων.
of-these both of-those and glorious lot may-be-grant loving
δέσποτα ποντομέδων, εὐθὺν δὲ πλόον καμάτων
master sea-ruler straight and voyage toils
ἐκτὸς ἐόντα δίδοι, χρυσαλακάτοιο πόσις
outside being grant of-golden-spindled husband
Ἀμφιτρίτας, ἐμῶν δ' ὕμνων ἄεξ' εὐτερπὲς ἄνθος.
Amphitrite of-my and hymns increase delightful flower

ΔΙΑΓΟΡΑ ΡΟΔΙΩ ΠΥΚΤΗ

VII · FOR DIAGORAS OF RHODES

As a man gives a golden cup to his son-in-law, the poet sends song to Diagoras, the boxer. He tells the story of Rhodes from Tlepolemus, who killed Licymnius in anger and was sent by Apollo to the island; of Athena's birth, when the Rhodians first sacrificed without fire and Zeus rained gold on them; and of how Helios, absent at the allotment, chose the island rising from the sea. He lists Diagoras' victories and prays to Zeus for him.

Φιάλαν ὡς εἴ τις ἀφνειᾶς ἀπὸ χειρὸς ἑλὼν
A-bowl as if one rich from hand taking
ἔνδον ἀμπέλου καχλάζοισαν δρόσῳ
within of-the-vine bubbling with-dew
δωρήσεται
shall-present
νεανίᾳ γαμβρῷ προπίνων οἴκοθεν οἴκαδε,
to-a-young son-in-law toasting from-home to-home
πάγχρυσον κορυφὰν κτεάνων,
all-golden crown of-possessions
συμποσίου τε χάριν κἀδός τε τιμάσαις νέον, ἐν δὲ φίλων
of-the-banquet and the-joy alliance and honoring new among and friends
παρεόντων θῆκέ νιν ζαλωτὸν ὁμόφρονος εὐνᾶς·
present made him envied for-like-minded marriage

καὶ ἐγὼ νέκταρ χυτόν, Μοισᾶν δόσιν, ἀεθλοφόροις
and I nectar poured of-the-Muses gift to-prize-winning
ἀνδράσιν πέμπων, γλυκὺν καρπὸν φρενός,
men sending sweet fruit of-mind

ἱλάσκομαι,
I-propitiate
Οὐλυμπίᾳ Πυθοῖ τε νικώντεσσιν· ὁ δ' ὄλβιος,
at-Olympia at-Pytho and victorious he and blessed
ὃν φᾶμαι κατέχοντ' ἀγαθαί.
whom reports hold good
ἄλλοτε δ' ἄλλον ἐποπτεύει Χάρις ζωθάλμιος ἁδυμελεῖ
at-other-times and another watches-over Grace life-flowering with-sweet-melody
θαμὰ μὲν φόρμιγγι παμφώνοισί τ' ἐν ἔντεσιν αὐλῶν.
often indeed lyre all-voiced and in instruments of-pipes

καί νυν ὑπ' ἀμφοτέρων σὺν Διαγόρᾳ κατέβαν τὰν ποντίαν
and now to both with Diagoras I-came-down the sea
ὑμνέων παῖδ' Ἀφροδίτας Ἀελίοιό τε νύμφαν, Ῥόδον,
hymning the-child of-Aphrodite of-Helios and bride Rhodes
εὐθυμάχαν ὄφρα πελώριον ἄνδρα παρ' Ἀλφεῷ στεφανωσάμενον
straight-fighting so-that huge man by Alpheus crowned
αἰνέσω πυγμᾶς ἄποινα
I-may-praise of-boxing as-reward
καὶ παρὰ Κασταλίᾳ, πατέρα τε Δαμάγητον ἁδόντα Δίκᾳ,
and by Castalia father and Damagetus pleasing to-Justice
Ἀσίας εὐρυχόρου τρίπολιν νᾶσον πέλας
of-Asia wide-spaced three-citied island near
ἐμβόλῳ ναίοντας Ἀργείᾳ σὺν αἰχμᾷ.
the-promontory dwelling Argive with spear

ἐθελήσω τοῖσιν ἐξ ἀρχᾶς ἀπὸ Τλαπολέμου
I-will-wish to-them from beginning from Tlepolemus
ξυνὸν ἀγγέλλων διορθῶσαι λόγον,
common announcing to-set-right the-story
Ἡρακλέος
of-Heracles
εὐρυσθενεῖ γέννᾳ. τὸ μὲν γὰρ πατρόθεν ἐκ Διὸς
wide-mighty to-the-race on-one-side indeed for on-the-father's-side from Zeus
εὔχονται· τὸ δ' Ἀμυντορίδαι
they-boast on-the-other and descendants-of-Amyntor
ματρόθεν Ἀστυδαμείας. ἀμφὶ δ'
on-the-mother's-side of-Astydameia around and
ἀνθρώπων φρασὶν ἀμπλακίαι
of-men minds errors
ἀναρίθμητοι κρέμανται· τοῦτο δ' ἀμάχανον εὑρεῖν,
countless hang this and impossible to-find

ὅ τι νῦν ἐν καὶ τελευτᾷ φέρτατον ἀνδρὶ τυχεῖν.
what thing now in and end best for-a-man to-meet
καὶ γὰρ Ἀλκμήνας κασίγνητον νόθον
and for of-Alcmena brother bastard
σκάπτῳ θένων
with-staff striking

σκληρᾶς ἐλαίας ἔκταν᾽ ἐν Τίρυνθι Λικύμνιον
of-hard olive killed in Tiryns Licymnius
ἐλθόντ᾽ ἐκ θαλάμων Μιδέας
coming from chambers of-Midea
τᾶσδέ ποτε χθονὸς οἰκιστὴρ χολωθείς. αἱ δὲ φρενῶν ταραχαὶ
of-this once land founder enraged the and of-mind confusions
παρέπλαγξαν καὶ σοφόν. μαντεύσατο δ᾽ ἐς θεὸν ἐλθών.
led-astray even the-wise he-consulted-the-oracle and to the-god coming

τῷ μὲν ὁ Χρυσοκόμας εὐώδεος ἐξ ἀδύτου ναῶν πλόον
to-him indeed — Golden-haired fragrant from shrine of-ships voyage
εἶπε Λερναίας ἀπ᾽ ἀκτᾶς εὐθὺν ἐς ἀμφιθάλασσον νομόν,
told Lernaean from shore straight to sea-girt pasture
ἔνθα ποτὲ βρέχε θεῶν βασιλεὺς ὁ μέγας
where once rained of-the-gods king the great
χρυσέαις νιφάδεσσι πόλιν,
with-golden snowflakes the-city
ἀνίχ᾽ Ἀφαίστου τέχναισιν
when of-Hephaestus by-the-arts
χαλκελάτῳ πελέκει πατέρος Ἀθαναία κορυφὰν κατ᾽ ἄκραν
with-bronze-forged axe of-her-father Athena crown down top
ἀνορούσαισ᾽ ἀλάλαξεν ὑπερμάκει βοᾷ·
leaping-up she-shouted with-tremendous cry
Οὐρανὸς δ᾽ ἔφριξέ νιν καὶ Γαῖα μάτηρ.
Heaven and shuddered-at her and Earth mother

τότε καὶ φαυσίμβροτος δαίμων Ὑπεριονίδας
then also mortal-lighting divinity the-son-of-Hyperion
μέλλον ἔντειλεν φυλάξασθαι χρέος
coming enjoined to-guard the-obligation
παισὶν φίλοις,
on-sons dear
ὡς ἂν θεᾷ πρῶτοι κτίσαιεν βωμὸν
that — for-the-goddess first they-should-found altar
ἐναργέα, καὶ σεμνὰν θυσίαν θέμενοι
conspicuous and holy sacrifice laying
πατρί τε θυμὸν ἰάναιεν κόρᾳ τ'
to-the-father and heart they-might-cheer to-the-daughter and
ἐγχειβρόμῳ. ἐν δ' ἀρετὰν
spear-thundering in and excellence
ἔβαλεν καὶ χάρματ' ἀνθρώποισι Προμαθέος Αἰδώς·
cast and joys for-men of-Forethought Reverence

ἐπὶ μὰν βαίνει τε καὶ λάθας ἀτέκμαρτα νέφος,
upon indeed comes and also of-forgetfulness unaccountably cloud
καὶ παρέλκει πραγμάτων ὀρθὰν ὁδὸν
and draws-aside of-affairs straight road
ἔξω φρενῶν.
outside minds

καὶ τοὶ γὰρ αἰθοίσας ἔχοντες σπέρμ᾽ ἀνέβαν
and they for of-blazing having seed went-up
φλογὸς οὔ· τεῦξαν δ᾽ ἀπύροις ἱεροῖς
flame not made and with-fireless rites
ἄλσος ἐν ἀκροπόλει· κείνοις ὁ μὲν ξανθὰν ἀγαγὼν νεφέλαν
grove on acropolis for-them he indeed yellow bringing cloud
πολὺν ὗσε χρυσόν· αὐτὰ δέ σφισιν ὤπασε τέχναν
much rained gold she and to-them granted skill

πᾶσαν ἐπιχθονίων Γλαυκῶπις ἀριστοπόνοις χερσὶ κρατεῖν.
every of-earth-dwellers the-Gray-eyed with-best-toiling hands to-excel
ἔργα δὲ ζωοῖσιν ἑρπόντεσσί θ᾽ ὁμοῖα κέλευθοι φέρον·
works and to-living moving and like the-roads bore
ἦν δὲ κλέος βαθύ. δαέντι δὲ καὶ σοφία μείζων ἄδολος τελέθει.
was and fame deep for-the-skilled and also wisdom greater guileless becomes
φαντὶ δ᾽ ἀνθρώπων παλαιαὶ
say and of-men ancient
ῥήσιες, οὔπω, ὅτε χθόνα δατέοντο Ζεύς τε καὶ ἀθάνατοι,
tales not-yet when earth were-dividing Zeus both and the-immortals
φανερὰν ἐν πελάγει Ῥόδον ἔμμεν ποντίῳ,
visible in sea Rhodes to-be open
ἁλμυροῖς δ᾽ ἐν βένθεσιν νᾶσον κεκρύφθαι.
salt and in depths the-island to-have-been-hidden

ἀπεόντος δ᾽ οὔτις ἔνδειξεν λάχος Ἀελίου·
absent and no-one marked-out lot Helios
καί ῥά μιν χώρας ἀκλάρωτον λίπον,
and then him of-land unallotted they-left

ἁγνὸν θεόν.
holy god
μνασθέντι δὲ Ζεὺς ἄμπαλον μέλλεν θέμεν.
to-him-mentioning-it and Zeus a-recasting was-about to-make
ἀλλά νιν οὐκ εἴασεν· ἐπεὶ πολιᾶς
but him not he-allowed since gray
εἶπέ τιν᾽ αὐτὸς ὁρᾶν ἔνδον θαλάσσας αὐξομέναν πεδόθεν
he-said some himself to-see within sea growing from-the-floor
πολύβοσκον γαῖαν ἀνθρώποισι καὶ εὔφρονα μήλοις.
much-nourishing land for-men and kindly to-flocks

ἐκέλευσεν δ᾽ αὐτίκα χρυσάμπυκα μὲν Λάχεσιν
he-bade and at-once golden-filleted indeed Lachesis
χεῖρας ἀντεῖναι, θεῶν δ᾽ ὅρκον μέγαν
hands to-raise of-the-gods and oath great
μὴ παρφάμεν,
not to-transgress
ἀλλὰ Κρόνου σὺν παιδὶ νεῦσαι, φαεννὸν
but of-Cronus with son to-nod-assent bright
ἐς αἰθέρα νιν πεμφθεῖσαν ἑᾷ κεφαλᾷ
to sky it sent for-his head
ἐξοπίσω γέρας ἔσσεσθαι. τελεύταθεν δὲ λόγων κορυφαὶ
hereafter a-prize to-be were-fulfilled and of-words the-heads
ἐν ἀλαθείᾳ πετοῖσαι. βλάστε μὲν ἐξ ἁλὸς ὑγρᾶς
in truth falling grew indeed from sea watery

νᾶσος, ἔχει τέ νιν ὀξειᾶν ὁ γενέθλιος ἀκτίνων πατήρ,
the-island holds and it of-sharp the begetter rays father
πῦρ πνεόντων ἀρχὸς ἵππων· ἔνθα Ῥόδῳ ποτὲ μιχθεὶς τέκεν
fire breathing ruler of-horses where with-Rhodes once lying begot
ἑπτὰ σοφώτατα νοήματ᾽ ἐπὶ προτέρων
seven wisest thoughts among former
ἀνδρῶν παραδεξαμένους
men having-received
παῖδας, ὧν εἷς μὲν Κάμειρον
sons of-whom one indeed Camirus
πρεσβύτατόν τε Ἰάλυσον ἔτεκεν Λίνδον τ᾽· ἀπάτερθε δ᾽ ἔχον,
eldest and Ialysus begot Lindus and apart and they-held
διὰ γαῖαν τρίχα δασσάμενοι πατρωίαν,
through land three-ways dividing ancestral
ἀστέων μοῖραν, κέκληνται δέ σφιν ἕδραι.
of-cities a-share are-called and for-them seats

τόθι λύτρον συμφορᾶς οἰκτρᾶς γλυκὺ Τλαπολέμῳ
there a-ransom for-misfortune piteous sweet for-Tlepolemus
ἵσταται Τιρυνθίων ἀρχαγέτᾳ,
is-set of-the-Tirynthians for-the-founder
ὥσπερ θεῷ,
as-though for-a-god

μήλων τε κνισσάεσσα πομπὰ καὶ κρίσις
of-sheep both savory procession and judging
ἀμφ' ἀέθλοις. τῶν ἄνθεσι Διαγόρας
about contests of-them with-flowers Diagoras
ἐστεφανώσατο δίς, κλεινᾷ τ' ἐν Ἰσθμῷ τετράκις εὐτυχέων,
crowned-himself twice famous and in Isthmus four-times succeeding
Νεμέᾳ τ' ἄλλαν ἐπ' ἄλλα, καὶ κραναΐς ἐν Ἀθάναις.
at-Nemea and one upon another and rocky in Athens

ὅ τ' ἐν Ἄργει χαλκὸς ἔγνω νιν, τά τ' ἐν Ἀρκαδίᾳ
the and in Argos bronze knew him the and in Arcadia
ἔργα καὶ Θήβαις, ἀγῶνές τ' ἔννομοι
works and at-Thebes contests and lawful
Βοιωτίων,
of-the-Boeotians
Πέλλανά τ' Αἴγινά τε νικῶνθ' ἑξάκις.
Pellana and Aegina and winning six-times
ἐν Μεγάροισίν τ' οὐχ ἕτερον λιθίνα
in Megara and not other stone
ψᾶφος ἔχει λόγον. ἀλλ', ὦ Ζεῦ πάτερ, νώτοισιν Ἀταβυρίου
tablet holds account but O Zeus father on-the-ridges of-Atabyrium
μεδέων, τίμα μὲν ὕμνου τεθμὸν Ὀλυμπιονίκαν,
ruling honor indeed of-hymn the-ordinance Olympic-victor's

ἄνδρα τε πὺξ ἀρετὰν εὑρόντα, δίδοι τέ οἱ αἰδοίαν χάριν
man and in-boxing excellence finding grant and to-him revered grace
καὶ ποτ᾽ ἀστῶν καὶ ποτὶ ξείνων. ἐπεὶ ὕβριος ἐχθρὰν ὁδὸν
both from citizens and from strangers since of-insolence hostile road
εὐθυπορεῖ, σάφα δαεὶς ἅ τέ οἱ πατέρων
he-travels-straight clearly learning what — to-him ancestors
ὀρθαὶ φρένες ἐξ ἀγαθῶν
upright minds from good
ἔχρεον. μὴ κρύπτε κοινὸν
gave-oracle not hide common
σπέρμ᾽ ἀπὸ Καλλιάνακτος· Ἐρατιδᾶν τοι σὺν χαρίτεσσιν ἔχει
seed from Callianax of-the-Eratidae you-know with graces has
θαλίας καὶ πόλις· ἐν δὲ μιᾷ μοίρᾳ χρόνου
festivities also the-city in and one portion of-time
ἄλλοτ᾽ ἀλλοῖαι διαιθύσσοισιν αὖραι.
at-other-times various dart breezes

ΑΛΚΙΜΕΔΟΝΤΙ ΑΙΓΙΝΗΤΗ ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗ

VIII · FOR ALCIMEDON OF AEGINA

The poet invokes Olympia and praises Alcimedon, a boy wrestler, and his brother Timosthenes. Aegina honors Themis, who sits beside Zeus, god of strangers. Apollo and Poseidon summoned Aeacus to build the walls of Troy, and serpents leaping at the wall foretold its fall to his descendants. He praises the trainer Melesias. The victory gives the boy's grandfather strength against old age, and Angelia may tell the dead Iphion and Callimachus. He prays that Nemesis not turn against them.

Μᾶτερ ὦ χρυσοστεφάνων ἀέθλων, Οὐλυμπία,
Mother O of-golden-crowned games Olympia
δέσποιν' ἀλαθείας· ἵνα μάντιες ἄνδρες
mistress of-truth where seers men
ἐμπύροις τεκμαιρόμενοι παραπειρῶνται Διὸς ἀργικεραύνου,
by-burnt-offerings divining make-trial of-Zeus bright-bolted
εἴ τιν' ἔχει λόγον ἀνθρώπων πέρι
whether any he-has word men about
μαιομένων μεγάλαν
striving great
ἀρετὰν θυμῷ λαβεῖν,
excellence in-heart to-win
τῶν δὲ μόχθων ἀμπνοάν·
of-the and toils relief

ἄνεται δὲ πρὸς χάριν εὐσεβίας ἀνδρῶν λιταῖς.
is-accomplished and in return for-piety of-men by-prayers
ἀλλ' ὦ Πίσας εὔδενδρον ἐπ' Ἀλφεῷ ἄλσος,
but O of-Pisa well-wooded by Alpheus grove

τόνδε κῶμον καὶ στεφαναφορίαν δέξαι. μέγα τοι κλέος αἰεί,
this revel and crown-bearing receive great you-know glory always
ᾧτινι σὸν γέρας ἕσπητ᾽ ἀγλαόν·
on-whomever your prize attends splendid
ἄλλα δ᾽ ἐπ᾽ ἄλλον ἔβαν
some and to another have-come
ἀγαθῶν, πολλαὶ δ᾽ ὁδοὶ
of-blessings many and roads
σὺν θεοῖς εὐπραγίας.
with gods of-success

Τιμόσθενες, ὔμμε δ᾽ ἐκλάρωσεν πότμος
Timosthenes you and allotted destiny
Ζηνὶ γενεθλίῳ· ὃς σὲ μὲν Νεμέᾳ πρόφατον,
to-Zeus of-the-race who you indeed at-Nemea famous
Ἀλκιμέδοντα δὲ πὰρ Κρόνου λόφῳ
Alcimedon and by of-Cronus hill
θῆκεν Ὀλυμπιονίκαν.
made Olympic-victor
ἦν δ᾽ ἐσορᾶν καλός, ἔργῳ τ᾽ οὐ κατὰ εἶδος ἐλέγχων
he-was and to-look-on fair in-deed and not against form shaming
ἐξένεπε κρατέων πάλᾳ δολιχήρετμον Αἴγιναν πάτραν·
proclaimed winning in-wrestling long-oared Aegina fatherland
ἔνθα σώτειρα Διὸς ξενίου
where savior of-Zeus of-strangers
πάρεδρος ἀσκεῖται Θέμις
assessor is-honored Themis

ἔξοχ᾽ ἀνθρώπων. ὅ τι γὰρ πολὺ καὶ πολλᾷ ῥέπῃ,
eminently of-men what thing for much and many-ways sways
ὀρθᾷ διακρίνειν φρενὶ μὴ παρὰ καιρόν,
with-upright to-decide mind not beyond due-measure
δυσπαλές· τεθμὸς δέ τις ἀθανάτων καὶ τάνδ᾽ ἁλιερκέα χώραν
hard-to-wrestle ordinance and some of-the-immortals also this sea-fenced land
παντοδαποῖσιν ὑπέστασε ξένοις
to-all-kinds set-under strangers
κίονα δαιμονίαν
pillar divine
ὁ δ᾽ ἐπαντέλλων χρόνος
the and rising time
τοῦτο πράσσων μὴ κάμοι
this doing not may-it-weary

Δωριεῖ λαῷ ταμιευομέναν ἐξ Αἰακοῦ·
for-Dorian people stewarded from Aeacus
τὸν παῖς ὁ Λατοῦς εὐρυμέδων τε Ποσειδᾶν,
whom the-son the of-Leto wide-ruling and Poseidon
Ἰλίῳ μέλλοντες ἐπὶ στέφανον τεῦξαι, καλέσαντο συνεργὸν
for-Ilium intending upon a-crown to-build called-upon as-fellow-worker
τείχεος, ἦν ὅτι νιν πεπρωμένον
of-the-wall it-was since it destined
ὀρνυμένων πολέμων
rising wars
πτολιπόρθοις ἐν μάχαις
city-sacking in battles
λάβρον ἀμπνεῦσαι καπνόν.
fierce to-breathe-out smoke

γλαυκοὶ δὲ δράκοντες, ἐπεὶ κτίσθη νέον,
gray and serpents when it-was-built new
πύργον ἐσαλλόμενοι τρεῖς, οἱ δύο μὲν κάπετον,
the-tower leaping-at three the two indeed fell-down
αὖθι δ' ἀτυζομένω ψυχὰς βάλον·
there and struck-with-panic their-lives cast
εἷς δ' ἀνόρουσε βοάσαις.
one and sprang-up shouting
ἔννεπε δ' ἀντίον ὁρμαίνων τέρας εὐθὺς Ἀπόλλων·
said and opposite pondering the-portent at-once Apollo
"Πέργαμος ἀμφὶ τεαῖς, ἥρως, χερὸς ἐργασίαις ἁλίσκεται·
Pergamus around your hero of-hand works is-taken
ὣς ἐμοὶ φάσμα λέγει Κρονίδα
so to-me the-vision tells of-the-son-of-Cronus
πεμφθὲν βαρυγδούπου Διός·
sent deep-thundering Zeus

οὐκ ἄτερ παίδων σέθεν, ἀλλ' ἅμα πρώτοις ῥάζεται
not without children your but together-with first it-will-be-broken
καὶ τερτάτοις." ὣς ἆρα θεὸς σάφα εἴπαις
and fourth so then the-god clearly having-spoken
Ξάνθον ἤπειγεν καὶ Ἀμαζόνας εὐίππους καὶ ἐς Ἴστρον ἐλαύνων.
for-Xanthus hastened and Amazons well-horsed and to Ister driving
Ὀρσοτρίαινα δ' ἐπ' Ἰσθμῷ ποντίᾳ
the-Trident-Wielder and to Isthmus of-the-sea
ἅρμα θοὸν τανύεν,
chariot swift stretched

ἀποπέμπων Αἰακὸν
sending-back Aeacus
δεῦρ' ἀν' ἵπποις χρυσέαις,
hither on mares golden

καὶ Κορίνθου δειράδ' ἐποψόμενος δαιτικλυτάν.
and of-Corinth the-ridge going-to-view famed-for-feasts
τερπνὸν δ' ἐν ἀνθρώποις ἴσον ἔσσεται οὐδέν.
pleasing and among men equal will-be nothing
εἰ δ' ἐγὼ Μελησίᾳ ἐξ ἀγενείων κῦδος ἀνέδραμον ὕμνῳ,
if and I for-Melesias from beardless-youths glory ran-up in-hymn
μὴ βαλέτω με λίθῳ τραχεῖ φθόνος·
not let-cast me with-stone rough envy
καὶ Νεμέᾳ γὰρ ὁμῶς
and at-Nemea for likewise
ἐρέω ταύταν χάριν,
I-will-tell this grace
τὰν δ' ἔπειτ' ἀνδρῶν μάχαν
that and then of-men the-fight

ἐκ παγκρατίου. τὸ διδάξασθαι δέ τοι
from the-pancratium the teaching and you-know
εἰδότι ῥᾴτερον· ἄγνωμον δὲ τὸ μὴ προμαθεῖν·
for-one-knowing easier foolish and the not learning-first
κουφότεραι γὰρ ἀπειράτων φρένες.
lighter for of-the-untried minds

κεῖνα δὲ κεῖνος ἂν εἴποι
those-things and he — could-tell
ἔργα περαίτερον ἄλλων, τίς τρόπος ἄνδρα προβάσει
deeds further than-others what way a-man will-advance
ἐξ ἱερῶν ἀέθλων μέλλοντα ποθεινοτάταν δόξαν φέρειν.
from sacred games intending most-longed-for fame to-win
νῦν μὲν αὐτῷ γέρας Ἀλκιμέδων
now indeed for-him a-prize Alcimedon
νίκαν τριακοστὰν ἑλών·
victory thirtieth taking

ὃς τύχᾳ μὲν δαίμονος, ἀνορέας δ' οὐκ ἀμπλακὼν
who by-fortune indeed of-a-god of-manliness and not failing
ἐν τέτρασιν παίδων ἀπεθήκατο γυίοις
on four of-boys put-off limbs
νόστον ἔχθιστον καὶ ἀτιμοτέραν γλῶσσαν καὶ ἐπίκρυφον οἶμον,
return most-hateful and more-dishonored tongue and hidden path
πατρὶ δὲ πατρὸς ἐνέπνευσεν μένος
in-the-father and of-his-father he-breathed strength
γήραος ἀντίπαλον.
of-old-age antagonist
Ἀΐδα τοι λάθεται
of-Hades you-know forgets
ἄρμενα πράξαις ἀνήρ.
fitting-things having-done a-man

ἀλλ᾽ ἐμὲ χρὴ μναμοσύναν ἀνεγείροντα φράσαι
but me it-is-needful memory raising-up to-tell
χειρῶν ἄωτον Βλεψιάδαις ἐπίνικον,
of-hands the-flower for-the-Blepsiadae victory-song
ἕκτος οἷς ἤδη στέφανος περίκειται
sixth for-whom already crown lies-around
φυλλοφόρων ἀπ᾽ ἀγώνων.
leaf-bearing from contests
ἔστι δὲ καί τι θανόντεσσιν μέρος
there-is and also some for-the-dead share
κὰν νόμον ἐρδομένων·
according-to custom done
κατακρύπτει δ᾽ οὐ κόνις
hides and not the-dust
συγγόνων κεδνὰν χάριν.
of-kinsmen dear grace

Ἑρμᾶ δὲ θυγατρὸς ἀκούσαις Ἰφίων
of-Hermes and of-the-daughter having-heard Iphion
Ἀγγελίας, ἐνέποι κεν Καλλιμάχῳ λιπαρὸν
of-Angelia would-tell — to-Callimachus shining
κόσμον Ὀλυμπίᾳ, ὅν σφι Ζεὺς γένει
adornment at-Olympia which to-them Zeus to-the-race
ὤπασεν. ἐσλὰ δ᾽ ἐπ᾽ ἐσλοῖς
granted good-things and upon good-things
ἔργ᾽ ἐθέλοι δόμεν, ὀξείας δὲ νόσους ἀπαλάλκοι.
deeds may-be-wish to-give sharp and diseases may-be-ward-off
εὔχομαι ἀμφὶ καλῶν μοίρᾳ Νέμεσιν διχόβουλον μὴ θέμεν·
I-pray about noble-things for-their-portion Nemesis divided-in-will not to-make

ἀλλ᾽ ἀπήμαντον ἄγων βίοτον
but painless bringing life
αὐτούς τ᾽ ἀέξοι καὶ πόλιν.
themselves and may-be-exalt and the-city

ΕΦΑΡΜΟΣΤΩ ΟΠΟΥΝΤΙΩ ΠΑΛΑΙΣΤΗ

IX · FOR EPHARMOSTUS OF OPOUS

Archilochus' song sufficed at Olympia, but now the poet shoots arrows of praise for Epharmostus, the wrestler, and his city Opous. He rejects a tale of gods fighting and tells instead of Deucalion and Pyrrha, who after the flood made a people from stones, and of Opous, son of Zeus by the daughter of Opous of Elis, raised by Locrus as his own. His city welcomed strangers, among them Menoetius, father of Patroclus. He lists Epharmostus' many victories and says that what comes by nature is best.

Τὸ μὲν Ἀρχιλόχου μέλος
The indeed of-Archilochus song
φωνᾶεν Ὀλυμπίᾳ, καλλίνικος ὁ τριπλόος κεχλαδώς,
sounding at-Olympia glorious-victory the thrice-repeated swelling
ἄρκεσε Κρόνιον παρ' ὄχθον ἀγεμονεῦσαι
sufficed Cronian by hill to-lead
κωμάζοντι φίλοις Ἐφαρμόστῳ σὺν ἑταίροις·
for-one-reveling dear Epharmostus with companions
ἀλλὰ νῦν ἑκαταβόλων Μοισᾶν ἀπὸ τόξων
but now far-shooting of-the-Muses from bows
Δία τε φοινικοστερόπαν σεμνόν τ' ἐπίνειμαι
Zeus both crimson-lightning holy and shower
ἀκρωτήριον Ἄλιδος
headland of-Elis
τοιοῖσδε βέλεσσιν,
with-such shafts
τὸ δή ποτε Λυδὸς ἥρως Πέλοψ
which indeed once Lydian hero Pelops
ἐξάρατο κάλλιστον ἔδνον Ἱπποδαμείας·
won fairest dowry of-Hippodameia

πτερόεντα δ' ἵει γλυκὺν
winged and send sweet
Πυθώναδ' ὀϊστόν· οὔτοι χαμαιπετέων λόγων ἐφάψεαι
to-Pytho arrow not-at-all earth-falling words you-will-touch
ἀνδρὸς ἀμφὶ παλαίσμασιν φόρμιγγ' ἐλελίζων
of-a-man about wrestlings lyre shaking
κλεινᾶς ἐξ Ὀπόεντος· αἰνήσαις ἢ καὶ υἱόν,
famous from Opous having-praised her and son
ἃν Θέμις θυγάτηρ τέ οἱ σώτειρα λέλογχεν
which Themis daughter and her savior has-obtained-as-lot
μεγαλόδοξος Εὐνομία, θάλλει δ' ἀρεταῖσιν
very-glorious Eunomia flourishes and with-excellences
σόν τε, Κασταλία, πάρα
your both Castalia by
Ἀλφεοῦ τε ῥέεθρον·
of-Alpheus and stream
ὅθεν στεφάνων ἄωτοι κλυτὰν
whence of-crowns flowers glorious
Λοκρῶν ἐπαείροντι ματέρ' ἀγλαόδενδρον.
of-the-Locrians exalt mother of-splendid-trees

ἐγὼ δέ τοι φίλαν πόλιν
I and you-know dear city
μαλεραῖς ἐπιφλέγων ἀοιδαῖς,
with-raging lighting-up songs

καὶ ἀγάνορος ἵππου
both than-proud horse
θᾶσσον καὶ ναὸς ὑποπτέρου παντᾷ
faster and than-ship winged everywhere
ἀγγελίαν πέμψω ταύταν,
the-message I-will-send this
εἰ σύν τινι μοιριδίῳ παλάμᾳ
if with some fated hand
ἐξαίρετον Χαρίτων νέμομαι κᾶπον·
choice of-the-Graces I-tend garden
κεῖναι γὰρ ὤπασαν τὰ τέρπν'· ἀγαθοὶ δὲ
they for granted the delights good and
καὶ σοφοὶ κατὰ δαίμον' ἄνδρες
also wise by divinity men

ἐγένοντ'· ἐπεὶ ἀντία
became since against
πῶς ἂν τριόδοντος Ἡρακλέης σκύταλον τίναξε χερσίν,
how — the-trident Heracles club brandished in-hands
ἀνίκ' ἀμφὶ Πύλον σταθεὶς ἤρειδε Ποσειδᾶν
when around Pylos standing pressed Poseidon
ἤρειδεν δέ νιν ἀργυρέῳ τόξῳ πολεμίζων
pressed and him with-silver bow warring
Φοῖβος, οὐδ' Ἀΐδας ἀκινήταν ἔχε ῥάβδον,
Phoebus nor Hades unmoved held wand

βρότεα σώμαθ' ᾗ κατάγει κοίλαν πρὸς ἀγυιὰν
mortal bodies with-which he-leads-down hollow to street
θνᾳσκόντων; ἀπό μοι λόγον
of-the-dying away for-me word
τοῦτον, στόμα, ῥῖψον·
this mouth throw
ἐπεὶ τό γε λοιδορῆσαι θεοὺς
since the indeed reviling gods
ἐχθρὰ σοφία, καὶ τὸ καυχᾶσθαι παρὰ καιρὸν
hateful wisdom and the boasting beyond due-measure

μανίαισιν ὑποκρέκει.
to-madness plays-accompaniment
μὴ νῦν λαλάγει τὰ τοιαῦτ'· ἔα πόλεμον μάχαν τε πᾶσαν
not now babble the such-things let war battle and all
χωρὶς ἀθανάτων· φέροις δὲ Πρωτογενείας
apart the-immortals bring and of-Protogeneia
ἄστει γλῶσσαν, ἵν' αἰολοβρόντα Διὸς αἴσᾳ
to-the-city tongue where of-flashing-thunder Zeus by-the-dispensation
Πύρρα Δευκαλίων τε Παρνασοῦ καταβάντε
Pyrrha Deucalion and from-Parnassus coming-down
δόμον ἔθεντο πρῶτον, ἄτερ δ' εὐνᾶς ὁμόδαμον
home established first without and bed of-one-folk
κτισσάσθαν λίθινον γόνον·
founded stone offspring
λαοὶ δ' ὀνύμασθεν.
people and they-were-named

ἔγειρ᾽ ἐπέων σφιν οἶμον λιγύν,
rouse of-words for-them path shrill
αἴνει δὲ παλαιὸν μὲν οἶνον, ἄνθεα δ᾽ ὕμνων
praise and old indeed wine flowers and of-hymns

νεωτέρων. λέγοντι μὰν
newer they-say indeed
χθόνα μὲν κατακλύσαι μέλαιναν
earth indeed to-have-flooded black
ὕδατος σθένος, ἀλλὰ
of-water the-might but
Ζηνὸς τέχναις ἀνάπωτιν ἐξαίφνας
of-Zeus by-arts ebb suddenly
ἄντλον ἑλεῖν. κείνων ἔσαν
the-flood to-have-taken of-those were
χαλκάσπιδες ὑμέτεροι πρόγονοι
bronze-shielded your ancestors
ἀρχᾶθεν Ἰαπετιονίδος φύτλας
from-the-beginning of-Iapetus' race
κοῦροι κορᾶν καὶ φερτάτων Κρονιδᾶν,
sons of-daughters and of-mightiest the-sons-of-Cronus
ἐγχώριοι βασιλῆες αἰεί,
native kings always

πρὶν Ὀλύμπιος ἁγεμὼν
until Olympian lord
θύγατρ' ἀπὸ γᾶς Ἐπειῶν Ὀπόεντος ἀναρπάσαις, ἔκαλος
daughter from land of-the-Epeians of-Opous having-snatched quietly
μίχθη Μαιναλίαισιν ἐν δειραῖς, καὶ ἔνεικεν
lay-with Maenalian in ridges and brought
Λοκρῷ, μὴ καθέλοι μιν αἰὼν πότμον ἐφάψαις
to-Locrus lest might-destroy him time destiny fastening
ὀρφανὸν γενεᾶς. ἔχεν δὲ σπέρμα μέγιστον
bereft of-offspring held and seed greatest
ἄλοχος, εὐφράνθη τε ἰδὼν ἥρως θετὸν υἱόν,
the-wife was-gladdened and seeing the-hero adopted son
μάτρωος δ' ἐκάλεσσέ νιν
of-her-father and he-called him
ἰσώνυμον ἔμμεν,
same-named to-be
ὑπέρφατον ἄνδρα μορφᾷ τε καὶ
surpassing-speech man in-form both and
ἔργοισι. πόλιν δ' ὤπασεν λαόν τε διαιτᾶν.
in-deeds city and he-granted people and to-govern

ἀφίκοντο δέ οἱ ξένοι,
came and to-him strangers
ἔκ τ' Ἄργεος ἔκ τε Θηβᾶν, οἱ δ' Ἀρκάδες, οἱ δὲ καὶ Πισᾶται·
from both Argos from and Thebes some and Arcadians some and also Pisans

υἱὸν δ' Ἄκτορος ἐξόχως τίμασεν ἐποίκων
the-son and of-Actor eminently he-honored of-settlers
Αἰγίνας τε Μενοίτιον· τοῦ παῖς ἅμ' Ἀτρείδαις
of-Aegina and Menoetius whose son together-with the-sons-of-Atreus
Τεύθραντος πεδίον μολὼν ἔστα σὺν Ἀχιλλεῖ
of-Teuthras plain coming stood with Achilles
μόνος, ὅτ' ἀλκᾶντας Δαναοὺς τρέψαις ἁλίαισιν
alone when valiant Danaans routing to-sea
πρύμναις Τήλεφος ἔμβαλεν·
sterns Telephus drove
ὥστ' ἔμφρονι δεῖξαι
so-as for-a-wise-man to-show
μαθεῖν Πατρόκλου βιατὰν νόον.
to-learn of-Patroclus violent mind
ἐξ οὗ Θέτιος γόνος οὐλίῳ νιν ἐν Ἄρει
from when of-Thetis offspring baneful him in Ares

παραγορεῖτο μή ποτε
exhorted not ever
σφετέρας ἄτερθε ταξιοῦσθαι
his-own apart to-be-posted
δαμασιμβρότου αἰχμᾶς.
man-subduing spear
εἴην εὑρησιεπὴς ἀναγεῖσθαι
may-I-be word-finding to-advance
πρόσφορος ἐν Μοισᾶν δίφρῳ·
fit in of-the-Muses chariot

τόλμα δὲ καὶ ἀμφιλαφὴς δύναμις
daring and also ample power
ἔσποιτο. προξενίᾳ δ' ἀρετᾷ τ' ἦλθον
may-attend for-friendship and excellence and I-came
τιμάορος Ἰσθμίαισι Λαμπρομάχου μίτραις,
honoring Isthmian of-Lampromachus fillets
ὅτ' ἀμφότεροι κράτησαν
when both won

μίαν ἔργον ἀν' ἁμέραν.
one victory on day
ἄλλαι δὲ δύ' ἐν Κορίνθου πύλαις ἐγένοντ' ἔπειτα χάρμαι,
others and two in of-Corinth gates came then joys
ταὶ δὲ καὶ Νεμέας Ἐφαρμόστῳ κατὰ κόλπον·
others and also of-Nemea for-Epharmostus in vale
Ἄργει τ' ἔσχεθε κῦδος ἀνδρῶν, παῖς δ' ἐν Ἀθάναις,
in-Argos and he-won glory among-men a-boy and in Athens
οἷον δ' ἐν Μαραθῶνι συλαθεὶς ἀγενείων
how and in Marathon robbed from-the-beardless
μένεν ἀγῶνα πρεσβυτέρων ἀμφ' ἀργυρίδεσσιν·
he-awaited contest of-elders for silver-cups
φῶτας δ' ὀξυρεπεῖ δόλῳ
men and with-swift-turning trick
ἀπτῶτι δαμάσσαις
unfalling having-subdued
διήρχετο κύκλον ὅσσᾳ βοᾷ,
he-went-through the-ring with-what cry
ὡραῖος ἐὼν καὶ καλὸς κάλλιστά τε ῥέξαις.
in-bloom being and fair most-fair-things and having-done

95 τὰ δὲ Παρρασίῳ στρατῷ
then and to-Parrhasian host
θαυμαστὸς ἐὼν φάνη Ζηνὸς ἀμφὶ πανάγυριν Λυκαίου,
wondrous being he-appeared of-Zeus at festival Lycaean
καὶ ψυχρᾶν ὁπότ' εὐδιανὸν φάρμακον αὐρᾶν
and of-cold when warming remedy breezes
Πελλάνᾳ φέρε· σύνδικος δ' αὐτῷ Ἰολάου
at-Pellana he-bore witness and for-him of-Iolaus
τύμβος εἰναλία τ' Ἐλευσὶς ἀγλαΐαισιν.
tomb by-the-sea and Eleusis to-splendors
100 τὸ δὲ φυᾷ κράτιστον ἅπαν· πολλοὶ δὲ διδακταῖς
the and by-nature best everything many and by-taught
ἀνθρώπων ἀρεταῖς κλέος
of-men excellences glory
ὤρουσαν ἀρέσθαι.
rushed to-win
ἄνευ δὲ θεοῦ σεσιγαμένον
without and god silenced
οὐ σκαιότερον χρῆμ' ἕκαστον. ἐντὶ γὰρ ἄλλαι
not more-awkward thing each are for other

105 ὁδῶν ὁδοὶ περαίτεραι,
than-roads roads farther
μία δ' οὐχ ἅπαντας ἄμμε θρέψει
one and not all us will-nourish
μελέτα· σοφίαι μὲν
practice skills indeed
αἰπειναί· τοῦτο δὲ προσφέρων ἆθλον,
steep this and offering as-prize

ὄρθιον ὦρυσαι θαρσέων,
loud shout boldly
τόνδ᾽ ἀνέρα δαιμονίᾳ γεγάμεν
this man by-divine-will to-be-born
εὔχειρα, δεξιόγυιον, ὁρῶντ᾽ ἀλκάν,
deft-handed nimble-limbed looking courage
Αἰάντειόν τ᾽ ἐν δαιτὶ Ἰλιάδα νικῶν ἐπεστεφάνωσε βωμόν.
of-Ajax and at feast of-the-son-of-Ileus winning he-crowned altar

ΑΓΗΣΙΔΑΜΩ ΛΟΚΡΩ ΕΠΙΖΕΦΥΡΙΩ ΠΑΙΔΙ ΠΥΚΤΗ

X · FOR HAGESIDAMUS OF WESTERN LOCRI

The poet confesses he forgot the song he owed Hagesidamus, a boy boxer, and pays it now with interest. Strictness rules Locri, which cares for Calliope and for Ares. He tells how Heracles, after punishing Augeas and the Moliones, founded the Olympic games beside Pelops' tomb and named the hill of Cronus, and who won the first contests. A song is like a son born late to an old father. The poet praises the boy's beauty, like Ganymede's.

Τὸν Ὀλυμπιονίκαν ἀνάγνωτέ μοι
The Olympic-victor read for-me
Ἀρχεστράτου παῖδα, πόθι φρενὸς
of-Archestratus the-son where of-mind
ἐμᾶς γέγραπται· γλυκὺ γὰρ αὐτῷ μέλος ὀφείλων
my he-is-written sweet for to-him a-song owing
ἐπιλέλαθ'· ὦ Μοῖσ', ἀλλὰ σὺ καὶ θυγάτηρ
I-have-forgotten O Muse but you and daughter
Ἀλάθεια Διός, ὀρθᾷ χερὶ
Truth of-Zeus with-upright hand
ἐρύκετον ψευδέων
ward-off of-falsehoods
ἐνιπὰν ἀλιτόξενον.
the-charge wronging-a-friend

ἔκαθεν γὰρ ἐπελθὼν ὁ μέλλων χρόνος
from-afar for coming-on the future time
ἐμὸν καταίσχυνε βαθὺ χρέος.
my has-shamed deep debt

ὅμως δὲ λῦσαι δυνατὸς ὀξεῖαν ἐπιμομφὰν τόκος·
yet but to-discharge able sharp reproach interest
ὁρᾶτ᾽ ὢν νῦν ψᾶφον ἑλισσομέναν
see then now the-pebble rolling
ὅπα κῦμα κατακλύσσει ῥέον,
how the-wave washes-over flowing
ὅπα τε κοινὸν λόγον
how and common account
φίλαν τίσομεν ἐς χάριν.
dear we-shall-pay to favor

νέμει γὰρ Ἀτρέκεια πόλιν Λοκρῶν Ζεφυρίων,
rules for Strictness the-city of-the-Locrians Zephyrian
μέλει τέ σφισι Καλλιόπα
is-dear and to-them Calliope
καὶ χάλκεος Ἄρης. τράπε δὲ Κύκνεια μάχα καὶ ὑπέρβιον
and brazen Ares turned and the-Cycnean fight even overmighty
Ἡρακλέα. πύκτας δ᾽ ἐν Ὀλυμπιάδι νικῶν
Heracles boxer and in Olympiad winning
Ἴλᾳ φερέτω χάριν
to-Ilas let-him-bring thanks
Ἁγησίδαμος ὡς
Hagesidamus as
Ἀχιλεῖ Πάτροκλος.
to-Achilles Patroclus
θήξαις δέ κε φύντ᾽ ἀρετᾷ ποτὶ
whetting and — one-born for-excellence toward
πελώριον ὁρμάσαι κλέος ἀνὴρ θεοῦ σὺν παλάμᾳ·
huge may-rouse glory a-man of-god with hand

ἄπονον δ' ἔλαβον χάρμα παῦροί τινες,
toil-free and won joy few some
ἔργων πρὸ πάντων βιότῳ φάος.
deeds before all for-life a-light
ἀγῶνα δ' ἐξαίρετον ἀείσαι θέμιτες ὧρσαν Διός,
contest and choice to-sing ordinances roused of-Zeus
ὃν ἀρχαίῳ σάματι πὰρ Πέλοπος
which ancient tomb by of-Pelops
βωμῶν ἑξάριθμον ἐκτίσσατο,
of-altars six-numbered he-founded
ἐπεὶ Ποσειδάνιον
when Poseidon's
πέφνε Κτέατον ἀμύμονα,
he-slew Cteatus blameless

πέφνε δ' Εὔρυτον, ὡς Αὐγέαν λάτριον
slew and Eurytus that from-Augeas for-service
ἀέκονθ' ἑκὼν μισθὸν ὑπέρβιον
unwilling willing the-wage overmighty
πράσσοιτο, λόχμαισι δὲ δοκεύσαις ὑπὸ Κλεωνᾶν
he-might-exact in-thickets and lying-in-wait below Cleonae
δάμασε καὶ κείνους Ἡρακλέης ἐφ' ὁδῷ,
subdued also them Heracles on road
ὅτι πρόσθε ποτὲ Τιρύνθιον
because before once Tirynthian
ἔπερσαν αὐτῷ στρατὸν
they-destroyed his army
μυχοῖς ἥμενον Ἄλιδος
in-recesses camped of-Elis

Μολίονες ὑπερφίαλοι. καὶ μὰν ξεναπάτας
the-Moliones overweening and indeed the-guest-cheater
Ἐπειῶν βασιλεὺς ὄπιθεν
of-the-Epeians king afterward
οὐ πολλὸν ἴδε πατρίδα πολυκτέανον ὑπὸ στερεῷ πυρὶ
not long saw fatherland wealthy under stubborn fire
πλαγαῖς τε σιδάρου βαθὺν εἰς ὀχετὸν ἄτας
blows and of-iron deep into channel of-ruin
ἴζοισαν ἑὰν πόλιν.
sinking his city
νεῖκος δὲ κρεσσόνων
strife and with-the-stronger
ἀποθέσθ' ἄπορον.
to-put-off impossible
καὶ κεῖνος ἀβουλίᾳ ὕστατος
and he through-folly last
ἁλώσιος ἀντάσαις θάνατον αἰπὺν οὐκ ἐξέφυγεν.
of-capture meeting death sheer not escaped

ὁ δ' ἄρ' ἐν Πίσᾳ ἕλσαις ὅλον τε στρατὸν
he and then in Pisa having-penned whole both army
λαίαν τε πᾶσαν Διὸς ἄλκιμος
booty and all of-Zeus valiant
υἱὸς σταθμᾶτο ζάθεον ἄλσος πατρὶ μεγίστῳ·
son measured-out very-holy grove for-father greatest
περὶ δὲ πάξαις Ἄλτιν μὲν ὅγ' ἐν καθαρῷ
around and fencing Altis indeed he in open

διέκρινε, τὸ δὲ κύκλῳ πέδον
marked-off the and in-a-circle ground
ἔθηκε δόρπου λύσιν,
made of-supper rest
τιμάσαις πόρον Ἀλφεοῦ
honoring the-ford of-Alpheus

μετὰ δώδεκ' ἀνάκτων θεῶν. καὶ πάγον
with twelve ruling gods and the-hill
Κρόνου προσεφθέγξατο· πρόσθε γὰρ
of-Cronus named before for
νώνυμνος, ἃς Οἰνόμαος ἄρχε, βρέχετο πολλᾷ
nameless which Oenomaus ruled was-drenched with-much
νιφάδι. ταύτᾳ δ' ἐν πρωτογόνῳ τελετᾷ
snow this and in first-born rite
παρέσταν μὲν ἄρα Μοῖραι σχεδὸν
stood-by indeed then the-Fates near
ὅ τ' ἐξελέγχων μόνος
the and testing alone
ἀλάθειαν ἐτήτυμον
truth genuine

χρόνος. τὸ δὲ σαφανὲς ἰὼν πόρσω κατέφρασεν,
time it and clear going forward declared
ὅπα τὰν πολέμοιο δόσιν
how the of-war gift
ἀκρόθινα διελὼν ἔθυε καὶ πενταετηρίδ' ὅπως ἄρα
first-fruits dividing he-sacrificed and the-five-year-feast how then
ἔστασεν ἑορτὰν σὺν Ὀλυμπιάδι πρώτᾳ
he-established festival with Olympiad first
νικαφορίαισί τε.
victories and
τίς δὴ ποταίνιον
who then new
ἔλαχε στέφανον
won crown
χείρεσσι ποσίν τε καὶ ἅρματι,
with-hands with-feet both and with-chariot
ἀγώνιον ἐν δόξᾳ θέμενος εὖχος, ἔργῳ καθελών;
of-the-contest in fame setting boast in-deed achieving

σταδίου μὲν ἀρίστευσεν εὐθὺν τόνον
the-stadium indeed he-won-the-prize straight stretch
ποσσὶ τρέχων παῖς ὁ Λικυμνίου
with-feet running son the of-Licymnius
Οἰωνός· ἵκεν δὲ Μιδέαθεν στρατὸν ἐλαύνων·
Oeonus he-came and from-Midea army driving
ὁ δὲ πάλᾳ κυδαίνων Ἔχεμος Τεγέαν·
he and in-wrestling glorifying Echemus Tegea
Δόρυκλος δ' ἔφερε πυγμᾶς τέλος,
Doryclus and carried-off of-boxing the-prize

Τίρυνθα ναίων πόλιν·
Tiryns inhabiting city
ἀν' ἵπποισι δὲ τέτρασιν
on horses and four

ἀπὸ Μαντινέας Σᾶμος Ὡλιροθίου·
from Mantinea Samus son-of-Halirrhothius
ἄκοντι Φράστωρ ἔλασε σκοπόν·
with-javelin Phrastor struck the-mark
μᾶκος δὲ Νικεὺς ἔδικε πέτρῳ χέρα κυκλώσαις
length and Niceus hurled with-stone hand whirling
ὑπὲρ ἁπάντων, καὶ συμμαχία θόρυβον
beyond all and the-allied-host uproar
παραίθυξε μέγαν· ἐν δ' ἕσπερον
darted-forth great in and evening
ἔφλεξεν εὐώπιδος
lit of-fair-faced
σελάνας ἐρατὸν φάος.
moon lovely light

ἀείδετο δὲ πᾶν τέμενος τερπναῖσι θαλίαις
was-sung and all precinct in-delightful festivities
τὸν ἐγκώμιον ἀμφὶ τρόπον.
the encomiastic in mode

ἀρχαῖς δὲ προτέραις ἑπόμενοι καί νῦν ἐπωνυμίαν χάριν
beginnings and earlier following also now name-giving grace
νίκας ἀγερώχου, κελαδησόμεθα βροντὰν
of-victory proud we-shall-celebrate thunder
καὶ πυρπάλαμον βέλος
and fire-handed dart
ὀρσικτύπου Διός,
of-thunder-rousing Zeus
ἐν ἅπαντι κράτει
in all power
αἴθωνα κεραυνὸν ἀραρότα.
blazing thunderbolt fitted
χλιδῶσα δὲ μολπὰ πρὸς κάλαμον ἀντιάξει μελέων,
luxuriant and song to pipe shall-answer of-songs

τὰ παρ᾽ εὐκλεΐ Δίρκᾳ χρόνῳ μὲν φάνεν·
which by glorious Dirce in-time indeed have-appeared
ἀλλ᾽ ὥτε παῖς ἐξ ἀλόχου πατρὶ
but as son from wife to-a-father
ποθεινὸς ἵκοντι νεότατος τὸ πάλιν ἤδη,
longed-for come of-youth the reverse already
μάλα δέ οἱ θερμαίνει φιλότατι νόον·
greatly and his warms with-love mind
ἐπεὶ πλοῦτος ὁ λαχὼν ποιμένα
since wealth that having-got shepherd
ἐπακτὸν ἀλλότριον,
brought-in foreign
θνάσκοντι στυγερώτατος·
for-one-dying most-hateful

καὶ ὅταν καλὰ ἔρξαις ἀοιδᾶς ἄτερ,
and when noble-things having-done song without
Ἀγησίδαμ', εἰς Ἀΐδα σταθμὸν
Hagesidamus to of-Hades the-dwelling
ἀνὴρ ἵκηται, κενεὰ πνεύσαις ἔπορε μόχθῳ
a-man comes empty-things having-breathed he-gave for-toil
βραχύ τι τερπνόν. τὶν δ' ἁδυεπής τε λύρα
brief some delight for-you and sweet-voiced both lyre
γλυκύς τ' αὐλὸς ἀναπάσσει χάριν·
sweet and pipe sprinkle grace
τρέφοντι δ' εὐρὺ κλέος
nourish and wide fame
κόραι Πιερίδες Διός.
daughters Pierides of-Zeus

ἐγὼ δὲ συνεφαπτόμενος σπουδᾷ, κλυτὸν ἔθνος
I and joining-in with-zeal glorious race
Λοκρῶν ἀμφέπεσον μέλιτι
of-the-Locrians embraced with-honey
εὐάνορα πόλιν καταβρέχων· παῖδ' ἐρατὸν δ' Ἀρχεστράτου
of-brave-men city drenching son lovely and of-Archestratus
αἴνησα, τὸν εἶδον κρατέοντα χερὸς ἀλκᾷ
I-praised whom I-saw winning of-hand by-strength
βωμὸν παρ' Ὀλύμπιον,
altar by Olympian

κεῖνον κατὰ χρόνον
that at time
ἰδέᾳ τε καλὸν
in-form both fair
ὥρᾳ τε κεκραμένον, ἅ ποτε
with-youth and blended which once
ἀναιδέα Γανυμήδει μόρον ἄλαλκε σὺν Κυπρογενεῖ. 105
ruthless from-Ganymede death warded-off with the-Cyprus-born

ΑΓΗΣΙΔΑΜΩ ΛΟΚΡΩ ΕΠΙΖΕΦΥΡΙΩ ΠΑΙΔΙ ΠΥΚΤΗ

XI · FOR HAGESIDAMUS OF WESTERN LOCRI

Men need winds and rain, and those who succeed need hymns, which are a pledge of great deeds. The poet promises a song for Hagesidamus, victor in boxing, and tells the Muses that the Western Locrians are hospitable, wise, and warlike, since neither fox nor lion changes its nature.

Ἔστιν ἀνθρώποις ἀνέμων ὅτε πλείστα
There-is for-men of-winds when most
χρῆσις, ἔστιν δ' οὐρανίων ὑδάτων,
need there-is and of-heavenly waters
ὀμβρίων παίδων νεφέλας.
rainy children of-the-cloud
εἰ δὲ σὺν πόνῳ τις εὖ πράσσοι, μελιγάρυες ὕμνοι
if and with toil one well fare honey-voiced hymns
ὑστέρων ἀρχὰ λόγων
of-later beginning words
τέλλεται καὶ πιστὸν ὅρκιον μεγάλαις ἀρεταῖς.
arise and faithful pledge for-great excellences

ἀφθόνητος δ' αἶνος Ὀλυμπιονίκαις
unenvied and praise for-Olympic-victors
οὗτος ἄγκειται. τὰ μὲν ἁμετέρα
this is-laid-up these indeed our
γλῶσσα ποιμαίνειν ἐθέλει·
tongue to-shepherd wishes
ἐκ θεοῦ δ' ἀνὴρ σοφαῖς ἀνθεῖ πραπίδεσσιν ὁμοίως.
from god and a-man with-wise flourishes mind equally

ἴσθι νῦν, Ἀρχεστράτου
know now of-Archestratus
παῖ, τεᾶς, Ἁγησίδαμε, πυγμαχίας ἕνεκεν
son your Hagesidamus boxing for-the-sake-of

κόσμον ἐπὶ στεφάνῳ χρυσέας ἐλαίας
an-ornament upon crown of-golden olive
ἁδυμελῆ κελαδήσω,
sweet-sounding I-will-sing
Ζεφυρίων, Λοκρῶν γενεὰν ἀλέγων.
of-the-Zephyrian Locrians race regarding
ἔνθα συγκωμάξατ'· ἐγγυάσομαι
there join-in-the-revel I-will-pledge
ὔμμιν, ὦ Μοῖσαι, φυγόξενον στρατὸν
to-you O Muses guest-shunning host
μηδ' ἀπείρατον καλῶν,
nor untried of-noble-things
ἀκρόσοφον δὲ καὶ αἰχματὰν ἀφίξεσθαι. τὸ γὰρ
supremely-wise but and warlike to-come the for
ἐμφυὲς οὔτ' αἴθων ἀλώπηξ
inborn neither tawny fox
οὔτ' ἐρίβρομοι λέοντες διαλλάξαντο ἦθος.
nor loud-roaring lions would-change character

ΕΡΓΟΤΕΛΕΙ ΙΜΕΡΑΙΩ ΔΟΛΙΧΟΔΡΟΜΩ

XII · FOR ERGOTELES OF HIMERA

The poet prays to Fortune, daughter of Zeus the Deliverer, to protect Himera. She steers ships, wars, and assemblies, while men's hopes rise and fall and no one knows the future. Faction drove Ergoteles from Cnossus, or his fame would have shed its leaves unknown at home, like a cock fighting by its own hearth. Now, victor in the footrace at Olympia, twice at Pytho, and at the Isthmus, he exalts the warm baths of the Nymphs.

Λίσσομαι, παῖ Ζηνὸς Ἐλευθερίου,
I-beseech child of-Zeus the-Deliverer
Ἱμέραν εὐρυσθενέ᾽ ἀμφιπόλει, σώτειρα Τύχα.
Himera wide-mighty protect savior Fortune
τὶν γὰρ ἐν πόντῳ κυβερνῶνται θοαὶ
by-you for on sea are-steered swift
νᾶες, ἐν χέρσῳ τε λαιψηροὶ πόλεμοι
ships on land and swift wars
καὐγοραὶ βουλαφόροι. αἵ γε μὲν ἀνδρῶν
and-assemblies counsel-bearing they indeed indeed of-men
πόλλ᾽ ἄνω, τὰ δ᾽ αὖ κάτω ψεύδη μεταμώνια
often up these and again down lies empty
τάμνοισαι κυλίνδοντ᾽ ἐλπίδες·
cutting roll hopes

σύμβολον δ᾽ οὔ πώ τις ἐπιχθονίων
token and not yet any of-earth-dwellers
πιστὸν ἀμφὶ πράξιος ἐσσομένας εὗρεν θεόθεν·
sure about action coming found from-the-gods

τῶν δὲ μελλόντων τετύφλωνται φραδαί.
of-the and future are-blinded perceptions
πολλὰ δ' ἀνθρώποις παρὰ γνώμαν ἔπεσεν,
many and to-men contrary-to judgment fell
ἔμπαλιν μὲν τέρψιος, οἱ δ' ἀνιαραῖς
the-reverse indeed of-delight some and grievous
ἀντικύρσαντες ζάλαις ἐσλὸν βαθὺ πήματος
meeting squalls good deep for-woe
ἐν μικρῷ πεδάμειψαν χρόνῳ.
in brief exchanged time

υἱὲ Φιλάνορος, ἤτοι καὶ τεά κεν,
son of-Philanor truly also your —
ἐνδομάχας ἅτ' ἀλέκτωρ, συγγόνῳ παρ' ἑστίᾳ
fighting-at-home like a-cock kindred by hearth
ἀκλεὴς τιμὰ κατεφυλλορόησε ποδῶν,
inglorious honor would-have-shed-its-leaves of-feet
εἰ μὴ στάσις ἀντιάνειρα Κνωσίας ἄμερσε πάτρας.
if not faction setting-man-against-man of-Cnossian had-robbed fatherland
νῦν δ' Ὀλυμπία στεφανωσάμενος
now and at-Olympia crowned
καὶ δὶς ἐκ Πυθῶνος Ἰσθμοῖ τ', Ἐργότελες,
and twice from Pytho at-Isthmus and Ergoteles
θερμὰ Νυμφᾶν λουτρὰ βαστάζεις,
warm of-the-Nymphs baths you-exalt
ὁμιλέων παρ' οἰκείαις ἀρούραις.
dwelling by own fields

ΞΕΝΟΦΩΝΤΙ ΚΟΡΙΝΘΙΩ ΣΤΑΔΙΟΔΡΟΜΩ ΚΑΙ ΠΕΝΤΑΘΛΩ

XIII · FOR XENOPHON OF CORINTH

The poet praises Corinth, home of Order, Justice, and Peace, and the house of Xenophon, victor in the stadium race and the pentathlon. Corinthians invented the dithyramb, the bridle, and the pediment. He lists the family's victories and turns to Corinthian heroes: Sisyphus, Medea, Glaucus, and Bellerophon, who bridled Pegasus with Athena's golden bit and killed the Amazons, the Chimaera, and the Solymi; the poet passes over his death in silence. He ends with a prayer to Zeus for the family.

Τρισολυμπιονίκαν

Thrice-Olympic-victor

ἐπαινέων οἶκον ἄμερον ἀστοῖς,

praising house gentle to-citizens

ξένοισι δὲ θεράποντα, γνώσομαι

to-strangers and serviceable I-shall-recognize

τὰν ὀλβίαν Κόρινθον, Ἰσθμίου

the prosperous Corinth of-Isthmian

πρόθυρον Ποτειδᾶνος, ἀγλαόκουρον.

porch Poseidon of-splendid-youths

ἐν τᾷ γὰρ Εὐνομία ναίει, κασίγνηταί τε, βάθρον πολίων ἀσφαλές,

in her for Order dwells sisters and foundation of-cities secure

Δίκα καὶ ὁμότροφος Εἰρήνα, ταμίαι ἀνδράσι πλούτου,

Justice and fellow-nursed Peace stewards for-men of-wealth

χρύσεαι παῖδες εὐβούλου Θέμιτος·

golden children of-wise-counseling Themis

ἐθέλοντι δ' ἀλέξειν
they-wish and to-ward-off
Ὕβριν, Κόρου ματέρα θρασύμυθον.
Insolence of-Surfeit mother bold-tongued
ἔχω καλά τε φράσαι, τόλμα τέ μοι
I-have noble-things both to-tell boldness and me
εὐθεῖα γλῶσσαν ὀρνύει λέγειν.
straight tongue rouses to-speak
ἄμαχον δὲ κρύψαι τὸ συγγενὲς ἦθος.
impossible and to-hide the inborn character
ὔμμιν δέ, παῖδες Ἀλάτα, πολλὰ μὲν νικαφόρον ἀγλαΐαν ὤπασαν
to-you and sons of-Aletes many indeed victorious splendor granted
ἄκραις ἀρεταῖς ὑπερελθόντων ἱεροῖς ἐν ἀέθλοις,
with-highest excellences surpassing sacred in contests
πολλὰ δ' ἐν καρδίαις ἀνδρῶν ἔβαλον
many and into hearts of-men cast

ὧραι πολυάνθεμοι ἀρχαῖα σοφίσμαθ'. ἅπαν δ' εὑρόντος ἔργον.
seasons flowery ancient devices every and of-the-inventor work
ταὶ Διωνύσου πόθεν ἐξέφανεν
the of-Dionysus whence appeared
σὺν βοηλάτᾳ χάριτες διθυράμβῳ·
with ox-driving graces dithyramb
τίς γὰρ ἱππείοις ἐν ἔντεσσιν μέτρα,
who for horses' in gear measures

ἢ θεῶν ναοῖσιν οἰωνῶν βασιλέα δίδυμον
or of-gods on-temples of-birds king twin
ἐπέθηκ'; ἐν δὲ Μοῖσ' ἁδύπνοος,
set in and the-Muse sweet-breathing
ἐν δ' Ἄρης ἀνθεῖ νέων οὐλίαις αἰχμαῖσιν ἀνδρῶν.
in and Ares flourishes of-young in-deadly spears men

ὕπατ' εὐρὺ ἀνάσσων
highest widely ruling
Ὀλυμπίας, ἀφθόνητος ἔπεσσιν
of-Olympia unenvious to-words
γένοιο χρόνον ἅπαντα, Ζεῦ πάτερ,
may-you-be time all Zeus father
καὶ τόνδε λαὸν ἀβλαβῆ νέμων
and this people unharmed guiding
Ξενοφῶντος εὔθυνε δαίμονος οὖρον·
of-Xenophon direct of-fortune the-breeze
δέξαι τέ οἱ στεφάνων ἐγκώμιον τεθμόν,
receive and for-him of-crowns encomiastic ordinance
τὸν ἄγει πεδίων ἐκ Πίσας,
which he-brings plains from Pisa
πεντάθλῳ ἅμα σταδίου νικῶν δρόμον· ἀντεβόλησεν
in-pentathlon together-with of-the-stadium winning race he-achieved
τῶν ἀνὴρ θνατὸς οὔπω τις πρότερον.
the-things man mortal not-yet any before

δύο δ' αὐτὸν ἔρεψαν
two and him crowned
πλόκοι σελίνων ἐν Ἰσθμιάδεσσιν
wreaths of-parsley at the-Isthmian-games
φανέντα· Νέμεά τ' οὐκ ἀντιξοεῖ.
appearing Nemea and not opposes
πατρὸς δὲ Θεσσαλοῦ ἐπ' Ἀλφεοῦ
of-father and Thessalus by of-Alpheus
ῥεέθροισιν αἴγλα ποδῶν ἀνάκειται,
streams the-glory of-feet is-laid-up
Πυθοῖ τ' ἔχει σταδίου τιμὰν διαύλου θ'
at-Pytho and he-holds of-stadium honor of-double-course and
ἁλίῳ ἀμφ' ἑνί, μηνός τέ οἱ
sun within one of-month and his
τωὐτοῦ κρανααῖς ἐν Ἀθάναισι τρία ἔργα ποδαρκὴς
same rocky in Athens three deeds swift-footed
ἄμερα θῆκε κάλλιστ' ἀμφὶ κόμαις,
day set fairest about hair

Ἑλλώτια δ' ἑπτάκις· ἐν δ' ἀμφιάλοισι Ποτειδᾶνος τεθμοῖσιν
the-Hellotia and seven-times in and sea-girt of-Poseidon rites
Πτοιοδώρῳ σὺν πατρὶ μακρότεραι
Ptoeodorus with the-father longer
Τερψίᾳ θ' ἕψονθ' Ἑριτίμῳ τ' ἀοιδαί.
for-Terpsias and will-follow for-Eritimus and songs

ὅσσα τ᾽ ἐν Δελφοῖσιν ἀριστεύσατε
as-many and in Delphi you-won
ἠδὲ χόρτοις ἐν λέοντος, δηρίομαι πολέσιν
and pastures in of-the-lion I-contend with-many
περὶ πλήθει καλῶν, ὡς μὰν σαφὲς
about the-number of-noble-things for indeed clearly
οὐκ ἂν εἰδείην λέγειν ποντιᾶν ψάφων ἀριθμόν.
not — I-would-know to-tell of-the-sea pebbles the-number

ἕπεται δ᾽ ἐν ἑκάστῳ
follows and in each
μέτρον· νοῆσαι δὲ καιρὸς ἄριστος.
measure to-perceive and the-right-moment best
ἐγὼ δὲ ἴδιος ἐν κοινῷ σταλεὶς
I and private in common sent
μῆτίν τε γαρύων παλαιγόνων
wisdom both proclaiming of-the-ancients
πόλεμόν τ᾽ ἐν ἡρωΐαις ἀρεταῖσιν
war and in heroic excellences
οὐ ψεύσομ᾽ ἀμφὶ Κορίνθῳ, Σίσυφον μὲν
not I-will-lie about Corinth Sisyphus indeed
πυκνότατον παλάμαις ὡς θεόν,
shrewdest in-devices as a-god
καὶ τὰν πατρὸς ἀντία Μήδειαν θεμέναν γάμον αὐτᾷ,
and the her-father against Medea making marriage for-herself
ναῒ σώτειραν Ἀργοῖ καὶ προπόλοις.
for-the-ship savior Argo and for-crew

τὰ δὲ καί ποτ᾽ ἐν ἀλκᾷ
they and also once in valor
πρὸ Δαρδάνου τειχέων ἐδόκησαν
before of-Dardanus walls seemed
ἐπ᾽ ἀμφότερα μαχᾶν τάμνειν τέλος,
on both-sides of-battles to-cut the-end
τοὶ μὲν γένει φίλῳ σὺν Ἀτρέος
those indeed race dear with of-Atreus
Ἑλέναν κομίζοντες, οἱ δ᾽ ἀπὸ πάμπαν
Helen recovering those and from utterly
εἴργοντες· ἐκ Λυκίας δὲ Γλαῦκον ἐλθόντα
warding-off from Lycia and Glaucus coming
τρόμεον Δαναοί. τοῖσι μὲν
trembled-at the-Danaans to-them indeed
ἐξεύχετ᾽ ἐν ἄστεϊ Πειράνας σφετέρου πατρὸς ἀρχὰν
he-boasted in the-city of-Peirene his-own of-father the-rule
καὶ βαθὺν κλᾶρον ἔμμεν καὶ μέγαρον·
and deep allotment to-be and hall

ὃς τᾶς ὀφιώδεος υἱόν ποτε Γοργόνος ἦ πόλλ᾽ ἀμφὶ κρουνοῖς
who of-the snaky son once Gorgon truly much about springs
Πάγασον ζεῦξαι ποθέων ἔπαθεν,
Pegasus to-yoke longing suffered
πρίν γέ οἱ χρυσάμπυκα κούρα χαλινὸν
until indeed for-him golden-bossed maiden bridle
Παλλὰς ἤνεγκ᾽· ἐξ ὀνείρου δ᾽ αὐτίκα
Pallas brought from dream and at-once
ἦν ὕπαρ· φώνασε δ᾽· "Εὕδεις, Αἰολίδα βασιλεῦ;
it-was waking-vision she-called and Do-you-sleep Aeolid king

ἄγε φίλτρον τόδ' ἵππειον δέκευ,
come charm this for-horses receive
καὶ Δαμαίῳ νιν θύων ταῦρον ἀργᾶντα πατρὶ δεῖξον."
and to-the-Tamer it sacrificing bull white to-your-father show

κυαναιγὶς ἐν ὄρφνᾳ
she-of-the-dark-aegis in darkness
κνώσσοντί οἱ παρθένος τόσα εἰπεῖν
sleeping to-him the-maiden so-much to-say
ἔδοξεν· ἀνὰ δ' ἐπᾶλτ' ὀρθῷ ποδί.
seemed up and he-leapt on-upright foot
παρκείμενον δὲ συλλαβὼν τέρας,
lying-by and seizing the-marvel
ἐπιχώριον μάντιν ἄσμενος εὗρεν,
local seer gladly he-found
δεῖξέν τε Κοιρανίδᾳ πᾶσαν τελευτὰν
showed and to-the-son-of-Coeranus all the-end
πράγματος, ὥς τ' ἀνὰ βωμῷ θεᾶς
of-the-matter how and on altar of-the-goddess
κοιτάξατο νύκτ' ἀπὸ κείνου χρήσιος. ὥς τέ οἱ αὐτὰ
he-lay night from that oracle how and to-him herself
Ζηνὸς ἐγχεικεραύνου παῖς ἔπορεν
of-Zeus spear-thunderer the-child gave

δαμασίφρονα χρυσόν.
spirit-taming gold
ἐννυπνίῳ δ' ᾇ τάχιστα πιθέσθαι
to-the-dream and with-all speed to-obey
κελήσατό μιν, ὅταν δ' εὐρυσθενεῖ
he-bade him when and to-wide-mighty
καρταίποδ' ἀναρύῃ Γαιαόχῳ,
strong-footed he-sacrifices the-Earth-holder
θέμεν Ἱππίᾳ βωμὸν εὐθὺς Ἀθάνᾳ.
to-set to-Horse-goddess altar at-once Athena
τελεῖ δὲ θεῶν δύναμις καὶ τὰν παρ' ὅρκον
accomplishes and of-gods power also the beyond oath
καὶ παρὰ ἐλπίδα κούφαν κτίσιν.
and beyond hope easy creation
ἤτοι καὶ ὁ καρτερὸς ὁρμαίνων ἕλε Βελλεροφόντας,
truly even the mighty striving caught Bellerophon
φάρμακον πραΰ τείνων ἀμφὶ γένυι,
charm gentle stretching around jaw

ἵππον πτερόεντ'· ἀναβὰς δ' εὐθὺς ἐνόπλια χαλκωθεὶς ἔπαιζεν.
horse winged mounting and at-once in-arms bronze-clad he-played
σὺν δὲ κείνῳ καί ποτ' Ἀμαζονίδων
with and him also once of-the-Amazons
αἰθέρος ψυχρᾶς ἀπὸ κόλπων ἐρήμων
of-sky cold from folds lonely
τοξόταν βάλλων γυναικεῖον στρατόν,
archer striking female host
καὶ Χίμαιραν πῦρ πνέοισαν καὶ Σολύμους ἔπεφνεν.
and Chimaera fire breathing and Solymi he-slew

διασωπάσομαί οἱ μόρον ἐγώ·
I-will-keep-silent his fate I
τὸν δ' ἐν Οὐλύμπῳ φάτναι Ζηνὸς ἀρχαῖαι δέκονται.
him and in Olympus stalls of-Zeus ancient receive

ἐμὲ δ' εὐθὺν ἀκόντων
me and straight of-javelins
ἱέντα ῥόμβον παρὰ σκοπὸν οὐ χρὴ
hurling whirl beside the-mark not it-is-fitting
τὰ πολλὰ βέλεα καρτύνειν χεροῖν.
the many shafts to-make-strong with-hands
Μοίσαις γὰρ ἀγλαοθρόνοις ἑκὼν
to-Muses for splendid-throned willing
Ὀλιγαιθίδαισίν τ' ἔβαν ἐπίκουρος.
to-the-Oligaethidae and I-came as-helper
Ἰσθμοῖ τά τ' ἐν Νεμέᾳ παύρῳ ἔπει θήσω
at-Isthmus the and in Nemea with-few words I-will-make
φανέρ' ἀθρό', ἀλαθής τέ μοι
clear together true and for-me
ἔξορκος ἐπέσσεται ἑξηκοντάκι δὴ ἀμφοτέρωθεν
sworn will-be sixty-times indeed from-both-sides
ἀδύγλωσσος βοὰ κάρυκος ἐσλοῦ.
sweet-tongued shout of-herald good

τὰ δ' Ὀλυμπίᾳ αὐτῶν
the and at-Olympia of-them
ἔοικεν ἤδη πάροιθε λελέχθαι·
seem already before to-have-been-told

τά τ᾽ ἐσσόμενα τότ᾽ ἂν φαίην σαφές·
the and future then — I-would-say clearly
νῦν δ᾽ ἔλπομαι μέν, ἐν θεῷ γε μὰν
now and I-hope indeed in god indeed truly
τέλος· εἰ δὲ δαίμων γενέθλιος ἔρποι,
the-end if and fortune of-the-race go-on
Διὶ τοῦτ᾽ Ἐνυαλίῳ τ᾽ ἐκδώσομεν πράσσειν.
to-Zeus this to-Enyalius and we-will-leave to-accomplish
τὰ δ᾽ ὑπ᾽ ὀφρύϊ Παρνασσίᾳ
the and under brow Parnassian
ἕξ· Ἄργεί θ᾽ ὅσσα καὶ ἐν Θήβαις, ὅσα τ᾽ Ἀρκάσιν ἀνάσσων
six in-Argos and as-many and in Thebes as-many and among-Arcadians ruling
μαρτυρήσει Λυκαίου βωμὸς ἄναξ,
will-witness of-Lycaeum altar the-lord

Πέλλανά τε καὶ Σικυὼν καὶ Μέγαρ᾽ Αἰακιδᾶν τ᾽ εὐερκὲς ἄλσος,
Pellana both and Sicyon and Megara of-the-Aeacidae and well-fenced grove
ἅ τ᾽ Ἐλευσὶς καὶ λιπαρὰ Μαραθών,
the and Eleusis and shining Marathon
ταί θ᾽ ὑπ᾽ Αἴτνας ὑψιλόφου καλλίπλουτοι
those and under Etna high-crested rich
πόλιες, ἅ τ᾽ Εὔβοια· καὶ πᾶσαν κατὰ
cities the and Euboea and all throughout
Ἑλλάδ᾽ εὑρήσεις ἐρευνῶν μάσσον᾽ ἢ ὡς ἰδέμεν.
Greece you-will-find searching more than as to-see
ἄνα, κούφοισιν ἐκνεῦσαι ποσίν·
come with-light to-swim-out feet
Ζεῦ τέλει᾽, αἰδῶ δίδοι καὶ τύχαν τερπνῶν γλυκείαν.
Zeus fulfiller reverence grant and fortune of-delights sweet

ΑΣΩΠΙΧΩ ΟΡΧΟΜΕΝΙΩ ΣΤΑΔΙΕΙ (παιδὶ Κλεοδάμου)

XIV · FOR ASOPICHUS OF ORCHOMENUS

The poet invokes the Graces of Orchomenus, guardians of the Minyans, without whom neither gods nor men have dances or feasts. He calls on Aglaia, Euphrosyne, and Thalia to look on the revel for the young Asopichus, victor at Olympia, and bids Echo carry the news to his dead father Cleodamus in the house of Persephone.

Καφισίων ὑδάτων
of-Cephisian waters
λαχοῖσαι, αἵτε ναίετε καλλίπωλον ἕδραν,
having-received who dwell-in of-fair-colts seat
ὦ λιπαρᾶς ἀοίδιμοι βασίλειαι
O of-shining famed-in-song queens
Χάριτες Ὀρχομενοῦ, παλαιγόνων Μινυᾶν ἐπίσκοποι,
Graces Orchomenus of-ancient Minyans guardians
κλῦτ', ἐπεὶ εὔχομαι. σὺν γὰρ ὕμμιν τὰ τερπνὰ καὶ
hear since I-pray with for you the delightful and
τὰ γλυκέ' ἄνεται πάντα βροτοῖς,
the sweet are-accomplished all for-mortals
εἰ σοφός, εἰ καλός, εἴ τις ἀγλαὸς ἀνήρ.
if wise if fair if any splendid man

οὐδὲ γὰρ θεοὶ σεμνᾶν Χαρίτων ἄτερ
not-even for the-gods holy Graces without
κοιρανέοισιν χοροὺς οὔτε δαῖτας· ἀλλὰ πάντων ταμίαι
order dances nor feasts but of-all stewards
ἔργων ἐν οὐρανῷ, χρυσότοξον θέμεναι παρὰ
of-works in heaven golden-bowed setting beside
Πύθιον Ἀπόλλωνα θρόνους,
Pythian Apollo thrones
ἀέναον σέβοντι πατρὸς Ὀλυμπίοιο τιμάν.
everlasting revere of-the-father Olympian honor

ὦ πότνι᾽ Ἀγλαΐα
O queenly Aglaia
φιλησίμολπέ τ᾽ Εὐφροσύνα, θεῶν κρατίστου
song-loving and Euphrosyne of-gods of-the-mightiest
παῖδες, ἐπακοοῖτε νῦν, Θαλία τε
children may-you-hear now Thalia and
ἐρασίμολπε, ἰδοῖσα τόνδε κῶμον ἐπ᾽ εὐμενεῖ τύχᾳ
lover-of-song seeing this revel at kindly fortune
κοῦφα βιβῶντα· Λυδῷ γὰρ Ἀσώπιχον τρόπῳ
lightly stepping in-Lydian for Asopichus mode
ἔν τε μελέταις ἀείδων ἔμολον,
in and studies singing I-came
οὕνεκ᾽ Ὀλυμπιόνικος ἁ Μινυεία
because Olympic-victor the Minyan-land
σεῦ ἕκατι. μελανοτειχέα νῦν δόμον
you for-the-sake-of black-walled now house
Φερσεφόνας ἔλθ᾽, Ἀχοῖ, πατρὶ κλυτὰν φέροισ᾽ ἀγγελίαν,
of-Persephone go Echo to-the-father glorious bearing message

Κλεόδαμον ὄφρ᾽ ἰδοῖσ᾽, υἱὸν εἴπῃς ὅτι οἱ νέαν
Cleodamus that seeing his-son you-may-tell that for-him young
κόλποις παρ᾽ εὐδόξοις Πίσας
vales by glorious of-Pisa
ἐστεφάνωσε κυδίμων ἀέθλων πτεροῖσι χαίταν.
has-crowned of-glorious games with-wings hair

PINDAR

ΠΥΘΙΟΝΙΚΑΙ

The Pythian Odes

ΙΕΡΩΝΙ ΑΙΤΝΑΙΩ ΑΡΜΑΤΙ

I · FOR HIERON OF AETNA

The golden lyre calms Zeus' eagle and the war god, but Zeus' enemies, like Typhon pinned under Etna, shudder at the Muses' song. The poet praises Hieron, founder of Aetna under Dorian laws, victor with the chariot, who fought like Philoctetes though sick. He prays that the Phoenicians and Etruscans stay quiet after their defeats at Himera and Cyme. He urges Hieron to govern justly and spend freely, since only fame outlives a man: Croesus' kindness lives on, and Phalaris is hated.

Χρυσέα φόρμιγξ, Ἀπόλλωνος καὶ ἰοπλοκάμων
Golden lyre of-Apollo and of-violet-haired
σύνδικον Μοισᾶν κτέανον· τᾶς ἀκούει μὲν βάσις, ἀγλαΐας ἀρχά,
shared the-Muses possession whom hears indeed the-step of-splendor beginning
πείθονται δ' ἀοιδοὶ σάμασιν,
obey and the-singers the-signals
ἀγησιχόρων ὁπόταν προοιμίων ἀμβολὰς τεύχῃς ἐλελιζομένα.
of-chorus-leading when preludes the-opening-notes you-make quivering
καὶ τὸν αἰχματὰν κεραυνὸν σβεννύεις
even the spear-pointed thunderbolt you-quench
ἀενάου πυρός. εὕδει δ' ἀνὰ σκάπτῳ Διὸς
of-everlasting fire sleeps and on the-scepter of-Zeus
αἰετός, ὠκεῖαν πτέρυγ' ἀμφοτέρωθεν χαλάξαις,
the-eagle swift wing on-both-sides relaxing

ἀρχὸς οἰωνῶν, κελαινῶπιν δ' ἐπί οἱ νεφέλαν
lord of-birds dark-faced and upon his cloud
ἀγκύλῳ κρατί, γλεφάρων ἁδὺ κλαῖστρον,
on-curved head of-eyelids sweet seal
κατέχευας· ὁ δὲ κνώσσων
you-poured he and slumbering
ὑγρὸν νῶτον αἰωρεῖ, τεαῖς
supple back heaves by-your
ῥιπαῖσι κατασχόμενος. καὶ γὰρ βιατὰς
throbbings held-fast even for violent
Ἄρης, τραχεῖαν ἄνευθε λιπὼν
Ares harsh apart leaving
ἐγχέων ἀκμάν, ἰαίνει καρδίαν
of-spears point cheers heart
κώματι, κῆλα δὲ καὶ δαιμόνων θέλγει φρένας,
with-slumber shafts and also of-gods charm minds
ἀμφί τε Λατοίδα σοφίᾳ βαθυκόλπων τε Μοισᾶν.
through both of-Leto's-son skill of-deep-girdled and the-Muses

ὅσσα δὲ μὴ πεφίληκε Ζεύς, ἀτύζονται βοὰν
as-many-as and not has-loved Zeus are-terrified-at the-voice
Πιερίδων ἀΐοντα, γᾶν τε καὶ πόντον κατ' ἀμαιμάκετον,
of-the-Pierides hearing land both and sea throughout irresistible
ὅς τ' ἐν αἰνᾷ Ταρτάρῳ κεῖται, θεῶν πολέμιος,
he-who and in dread Tartarus lies of-the-gods enemy

Τυφὼς ἑκατοντακάρανος· τόν ποτε
Typhon hundred-headed whom once
Κιλίκιον θρέψεν πολυώνυμον ἄντρον· νῦν γε μὰν
Cilician nursed much-famed cave now indeed truly
ταί θ' ὑπὲρ Κύμας ἁλιερκέες ὄχθαι
the and above Cyme sea-fenced banks
Σικελία τ' αὐτοῦ πιέζει στέρνα λαχνάεντα·
Sicily and his presses breast shaggy
κίων δ' οὐρανία συνέχει,
pillar and heavenly holds-fast
νιφόεσσ' Αἴτνα, πάνετες χιόνος ὀξείας τιθήνα·
snowy Etna all-year of-snow sharp nurse

τᾶς ἐρεύγονται μὲν ἀπλάτου πυρὸς ἁγνόταται
from-which belch-forth indeed of-unapproachable fire holiest
ἐκ μυχῶν παγαί· ποταμοὶ δ' ἁμέραισιν μὲν
from depths springs rivers and by-day indeed
προχέοντι ῥόον καπνοῦ
pour-forth stream of-smoke
αἴθωνα· ἀλλ' ἐν ὄρφναισιν πέτρας
blazing but in darkness rocks
φοίνισσα κυλινδομένα φλὸξ ἐς βαθεῖαν
crimson rolling flame to deep
φέρει πόντου πλάκα σὺν πατάγῳ.
brings of-sea plain with crash

κεῖνο δ' Ἀφαίστοιο κρουνοὺς ἑρπετὸν
that and of-Hephaestus springs monster
δεινοτάτους ἀναπέμπει· τέρας μὲν θαυμάσιον προσιδέσθαι,
most-terrible sends-up a-portent indeed wondrous to-behold
θαῦμα δὲ καὶ παρεόντων ἀκοῦσαι,
a-wonder and also from-those-present to-hear

οἷον Αἴτνας ἐν μελαμφύλλοις δέδεται κορυφαῖς
how of-Etna in black-leaved is-bound peaks
καὶ πέδῳ, στρωμνὰ δὲ χαράσσοισ' ἅπαν
and plain bed and scoring all
νῶτον ποτικεκλιμένον κεντεῖ.
back leaning-against goads
εἴη, Ζεῦ, τὶν εἴη ἀνδάνειν,
may-it-be Zeus for-you may-it-be to-please
ὃς τοῦτ' ἐφέπεις ὄρος, εὐκάρποιο γαίας
who this rule mountain of-fruitful land
μέτωπον, τοῦ μὲν ἐπωνυμίαν
the-brow whose indeed by-the-name
κλεινὸς οἰκιστὴρ ἐκύδανεν πόλιν
famous founder glorified city
γείτονα, Πυθιάδος δ' ἐν δρόμῳ κάρυξ
neighboring of-the-Pythian-games and in course the-herald
ἀνέειπέ νιν ἀγγέλλων Ἱέρωνος ὑπὲρ καλλινίκου
proclaimed it announcing Hieron for gloriously-victorious

ἅρμασι. ναυσιφορήτοις δ' ἀνδράσι πρώτα χάρις
with-chariots for-ship-borne and men first grace
ἐς πλόον ἀρχομένοις πομπαῖον ἐλθεῖν οὖρον· ἐοικότα γὰρ
to voyage beginning favoring to-come breeze likely for
καὶ τελευτᾷ φερτέρου νόστου τυχεῖν. ὁ δὲ λόγος
also at-the-end better return to-meet the and word
ταύταις ἐπὶ συντυχίαις δόξαν φέρει
these upon successes expectation brings
λοιπὸν ἔσσεσθαι στεφάνοισί νιν ἵπποις τε κλυτὰν
in-future to-be with-crowns it with-horses and glorious
καὶ σὺν εὐφώνοις θαλίαις ὀνυμαστάν.
and with melodious festivals named
Λύκιε καὶ Δάλου ἀνάσσων Φοῖβε,
Lycian and of-Delos ruling Phoebus
Παρνασσοῦ τε κράναν Κασταλίαν φιλέων,
of-Parnassus and spring Castalian loving
ἐθελήσαις ταῦτα νόῳ τιθέμεν εὔανδρόν τε χώραν.
may-you-wish these-things in-mind to-set rich-in-men and land

ἐκ θεῶν γὰρ μαχαναὶ πᾶσαι βροτέαις ἀρεταῖς,
from gods for means all for-mortal excellences
καὶ σοφοὶ καὶ χερσὶ βιαταὶ περίγλωσσοί τ'
both wise and with-hands mighty eloquent and
ἔφυν. ἄνδρα δ' ἐγὼ κεῖνον
are-born man and I that
αἰνῆσαι μενοινῶν ἔλπομαι
to-praise eager I-hope
μὴ χαλκοπάρᾳον ἄκονθ' ὡσείτ' ἀγῶνος
not bronze-cheeked javelin as-it-were the-contest
βαλεῖν ἔξω παλάμᾳ δονέων,
to-throw outside with-hand brandishing
45 μακρὰ δὲ ῥίψαις ἀμεύσασθ' ἀντίους·
far and throwing to-surpass rivals
εἰ γὰρ ὁ πᾶς χρόνος ὄλβον μὲν οὕτω καὶ κτεάνων δόσιν
if for the whole time prosperity indeed so and of-possessions the-gift
εὐθύνοι, καμάτων δ' ἐπίλασιν παράσχοι.
should-guide of-toils and forgetfulness should-grant

ἦ κεν ἀμνάσειεν, οἵαις ἐν πολέμοισι μάχαις
truly — he-would-remember what in wars battles
τλάμονι ψυχᾷ παρέμειν', ἀνίχ' εὑρίσκοντο θεῶν παλάμαις τιμάν,
with-enduring soul he-stood-firm when they-won of-gods by-the-hands honor
οἵαν οὔτις Ἑλλάνων δρέπει,
such-as no-one of-Greeks plucks

πλούτου στεφάνωμ᾽ ἀγέρωχον. νῦν γε μὰν
of-wealth crown lordly now indeed truly
τὰν Φιλοκτήταο δίκαν ἐφέπων
the of-Philoctetes fashion following
ἐστρατεύθη· σὺν δ᾽ ἀνάγκᾳ νιν φίλον
he-went-to-war with and necessity him dear
καί τις ἐὼν μεγαλάνωρ ἔσανεν. φαντὶ δὲ Λαμνόθεν
even one being proud fawned-upon they-say and from-Lemnos
ἕλκει τειρόμενον μεταβάσοντας ἐλθεῖν
with-wound worn going-to-fetch to-have-come

ἥρωας ἀντιθέους Ποίαντος υἱὸν τοξόταν·
heroes godlike of-Poias the-son the-archer
ὃς Πριάμοιο πόλιν πέρσεν, τελεύτασέν τε πόνους Δαναοῖς,
who of-Priam city sacked ended and the-toils for-the-Danaans
ἀσθενεῖ μὲν χρωτὶ βαίνων, ἀλλὰ μοιρίδιον ἦν.
with-weak indeed flesh walking but fated it-was
οὕτω δ᾽ Ἱέρωνι θεὸς ὀρθωτὴρ πέλοι
so and for-Hieron god upholder may-be
τὸν προσέρποντα χρόνον, ὧν ἔραται καιρὸν διδούς.
the coming time of-what he-desires the-right-moment giving
Μοῖσα, καὶ πὰρ Δεινομένει κελαδῆσαι
Muse also by Deinomenes to-sing
πίθεό μοι ποινὰν τεθρίππων. χάρμα δ᾽
obey me the-reward of-four-horse-chariots joy and
οὐκ ἀλλότριον νικαφορία πατέρος.
not foreign the-victory of-a-father
ἄγ᾽ ἔπειτ᾽ Αἴτνας βασιλεῖ φίλιον ἐξεύρωμεν ὕμνον·
come then for-Etna's king friendly let-us-find hymn

τῷ πόλιν κείναν θεοδμάτῳ σὺν ἐλευθερίᾳ
for-whom city that god-built with freedom
Ὑλλίδος στάθμας Ἱέρων ἐν νόμοις ἔκτισσ'.
of-Hyllus rule Hieron in laws founded
ἐθέλοντι δὲ Παμφύλου
wish and of-Pamphylus
καὶ μὰν Ἡρακλειδᾶν ἔκγονοι
and indeed of-the-Heracleidae descendants
ὄχθαις ὕπο Ταϋγέτου ναίοντες αἰεὶ μένειν τεθμοῖσιν ἐν Αἰγιμιοῦ
banks under of-Taygetus dwelling always to-remain ordinances in of-Aegimius
Δωριεῖς. ἔσχον δ' Ἀμύκλας ὄλβιοι,
Dorians they-held and Amyclae prosperous
Πινδόθεν ὀρνύμενοι, λευκοπώλων Τυνδαριδᾶν βαθύδοξοι
from-Pindus setting-out of-white-horsed the-Tyndarids deep-famed
γείτονες, ὧν κλέος ἄνθησεν αἰχμᾶς.
neighbors whose fame flowered of-spear

Ζεῦ τέλει', αἰεὶ δὲ τοιαύταν Ἀμένα παρ' ὕδωρ
Zeus fulfiller always and such of-Amenas by water
αἶσαν ἀστοῖς καὶ βασιλεῦσιν διακρίνειν ἔτυμον λόγον ἀνθρώπων,
lot for-citizens and for-kings to-decide true word of-men
σύν τοι τίν κεν ἁγητὴρ ἀνήρ,
with you-know you — leader man
υἱῷ τ' ἐπιτελλόμενος, δᾶμον γεραίρων
to-son and enjoining people honoring
τράποι σύμφωνον ἐς ἀσυχίαν.
may-turn harmonious to peace

λίσσομαι νεῦσον, Κρονίων, ἄμερον
I-pray nod son-of-Cronus calm
ὄφρα κατ᾽ οἶκον ὁ Φοίνιξ ὁ Τυρσανῶν τ᾽ ἀλαλατὸς ἔχῃ,
that at home the Phoenician the of-Tyrrhenians and war-cry may-keep
ναυσίστονον ὕβριν ἰδὼν τὰν πρὸ Κύμας·
shipwrecking insolence seeing the before Cyme

οἷα Συρακοσίων ἀρχῷ δαμασθέντες πάθον,
what of-the-Syracusans by-the-ruler subdued they-suffered
ὠκυπόρων ἀπὸ ναῶν ὅ σφιν ἐν πόντῳ βάλεθ᾽ ἁλικίαν,
swift-sailing from ships who their in sea cast youth
Ἑλλάδ᾽ ἐξέλκων βαρείας δουλίας. ἀρέομαι
Greece drawing-out from-heavy slavery I-shall-win
πὰρ μὲν Σαλαμῖνος, Ἀθαναίων χάριν,
from indeed Salamis of-the-Athenians thanks
μισθόν, ἐν Σπάρτᾳ δ᾽ ἀπὸ τᾶν πρὸ Κιθαιρῶνος μαχᾶν,
as-reward in Sparta and from the before Cithaeron battles
ταῖσι Μήδειοι κάμον ἀγκυλότοξοι,
in-which Medes suffered bent-bowed
παρὰ δὲ τὰν εὔυδρον ἀκτὰν Ἰμέρα παίδεσσιν
by and the well-watered shore of-Himeras for-the-sons
ὕμνον Δεινομένευς τελέσαις,
hymn of-Deinomenes having-accomplished
τὸν ἐδέξαντ᾽ ἀμφ᾽ ἀρετᾷ, πολεμίων ἀνδρῶν καμόντων.
which they-received for excellence enemy men having-been-worn-down

καιρὸν εἰ φθέγξαιο, πολλῶν πείρατα συντανύσαις
the-right-moment if you-should-utter of-many-things the-ends bringing-together
ἐν βραχεῖ, μείων ἕπεται μῶμος ἀνθρώπων.
in brief less follows blame of-men
ἀπὸ γὰρ κόρος ἀμβλύνει
away for satiety blunts
αἰανὴς ταχείας ἐλπίδας·
wearisome swift hopes
ἀστῶν δ' ἀκοὰ κρύφιον θυμὸν βαρύνει
of-citizens and hearing secret heart weighs-down
μάλιστ' ἐσλοῖσιν ἐπ' ἀλλοτρίοις.
most good-things upon others'
85 ἀλλ' ὅμως, κρέσσων γὰρ οἰκτιρμοῦ φθόνος,
but nevertheless better for than-pity envy
μὴ παρίει καλά. νώμα δικαίῳ πηδαλίῳ στρατόν·
not pass-by noble-things steer with-just rudder the-host
ἀψευδεῖ δὲ πρὸς ἄκμονι χάλκευε γλῶσσαν.
unlying and on anvil forge tongue

εἴ τι καὶ φλαῦρον παραιθύσσει, μέγα τοι φέρεται
if any even trivial flies-off great you-know is-borne
πὰρ σέθεν. πολλῶν ταμίας ἐσσί· πολλοὶ
from you of-many steward you-are many
μάρτυρες ἀμφοτέροις πιστοί.
witnesses for-both trustworthy
εὐανθεῖ δ' ἐν ὀργᾷ παρμένων,
blooming and in temper abiding

εἴπερ τι φιλεῖς ἀκοὰν ἁδεῖαν αἰεὶ
if-indeed at-all you-love report sweet always
κλύειν, μὴ κάμνε λίαν δαπάναις·
to-hear not weary too-much in-expenses
ἐξίει δ' ὥσπερ κυβερνάτας ἀνὴρ
let-out and like a-pilot man
ἱστίον ἀνεμόεν. μὴ δολωθῇς, ὦ φίλος, κέρδεσιν
sail windy not be-deceived O friend by-gains
εὐτράπλοις· ὀπιθόμβροτον αὔχημα δόξας
shifty surviving-mortals vaunt of-fame

οἷον ἀποιχομένων ἀνδρῶν δίαιταν μανύει
alone of-departed men way-of-life reveals
καὶ λογίοις καὶ ἀοιδοῖς· οὐ φθίνει Κροίσου φιλόφρων ἀρετά·
both to-chroniclers and to-singers not perishes of-Croesus kindly excellence
τὸν δὲ ταύρῳ χαλκέῳ καυτῆρα νηλέα νόον
him and with-bull bronze burner pitiless of-mind
ἐχθρὰ Φάλαριν κατέχει παντᾷ φάτις,
hateful Phalaris holds everywhere report
οὐδέ νιν φόρμιγγες ὑπωρόφιαι κοινωνίαν
nor him lyres under-the-roof fellowship
μαλθακὰν παίδων ὀάροισι δέκονται.
gentle of-boys with-songs receive
τὸ δὲ παθεῖν εὖ πρῶτον ἄθλων· εὖ δ' ἀκούειν
the and to-fare well first of-prizes well and to-be-spoken-of
δευτέρα μοῖρ'· ἀμφοτέροισι δ' ἀνὴρ
second portion both and a-man
ὃς ἂν ἐγκύρσῃ, καὶ ἕλῃ, στέφανον ὕψιστον δέδεκται.
who — meets and takes crown highest has-received

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩ ΑΡΜΑΤΙ

II · FOR HIERON OF SYRACUSE

From Thebes the poet brings a song for Hieron's chariot victory. Poets repay kings with hymns, as the Cyprians sing Cinyras and the Locrian maiden sings Hieron. Ixion, who on his wheel teaches that benefactors must be repaid, shed kindred blood and desired Hera, and a cloud shaped like her bore Centaurus. God alone achieves every end. The poet shuns slander, praises Hieron's wealth and courage, bids him become what he is, and warns against fox-like slanderers: one must not fight god.

Μεγαλοπόλιες ὦ Συράκοσαι, βαθυπολέμου
Great-citied O Syracuse of-deep-warring
τέμενος Ἄρεος, ἀνδρῶν ἵππων τε
precinct Ares of-men horses and
σιδαροχαρμᾶν δαιμόνιαι τροφοί,
iron-delighting divine nurses
ὔμμιν τόδε τᾶν λιπαρᾶν ἀπὸ Θηβᾶν φέρων
to-you this the shining from Thebes bearing
μέλος ἔρχομαι ἀγγελίαν τετραορίας ἐλελίχθονος,
song I-come message of-the-four-horse-chariot earth-shaking
εὐάρματος Ἱέρων ἐν ᾷ κρατέων
with-fine-chariot Hieron in which winning
τηλαυγέσιν ἀνέδησεν Ὀρτυγίαν στεφάνοις,
with-far-shining crowned Ortygia crowns
ποταμίας ἕδος Ἀρτέμιδος, ἃς οὐκ ἄτερ
of-the-river seat Artemis whom not without
κείνας ἀγαναῖσιν ἐν χερσὶ ποικιλανίους ἐδάμασσε πώλους.
her gentle in hands with-embroidered-reins he-tamed colts

ἐπὶ γὰρ ἰοχέαιρα παρθένος χερὶ διδύμᾳ
upon for the-archer maiden with-hand twin
ὅ τ' ἐναγώνιος Ἑρμᾶς αἰγλᾶντα τίθησι
the and of-the-games Hermes gleaming puts
κόσμον, ξεστὸν ὅταν δίφρον
adornment polished when car
ἔν θ' ἅρματα πεισιχάλινα καταζευγνύῃ
in and chariots obedient-to-the-rein he-yokes
σθένος ἵππιον, ὀρσοτρίαιναν εὐρυβίαν καλέων θεόν.
strength of-horses trident-wielding wide-ruling calling-on god
ἄλλοις δέ τις ἐτέλεσσεν ἄλλος ἀνὴρ
for-others and some has-made other man
εὐαχέα βασιλεῦσιν ὕμνον, ἄποιν' ἀρετᾶς.
loud-sounding for-kings hymn reward of-excellence
κελαδέοντι μὲν ἀμφὶ Κινύραν πολλάκις
celebrate indeed around Cinyras often
φᾶμαι Κυπρίων, τὸν ὁ χρυσοχαῖτα
the-voices of-the-Cyprians whom the golden-haired
προφρόνως ἐφίλησ' Ἀπόλλων,
gladly loved Apollo

ἱερέα κτίλον Ἀφροδίτας· ἄγει δὲ χάρις
priest tame of-Aphrodite leads and gratitude
φίλων ποίνιμος ἀντὶ ἔργων ὀπιζομένα·
of-friends recompensing for deeds regarding
σὲ δ', ὦ Δεινομένειε παῖ, Ζεφυρία πρὸ δόμων
you and O Deinomenean son Zephyrian before houses
Λοκρὶς παρθένος ἀπύει, πολεμίων καμάτων ἐξ ἀμαχάνων
Locrian maiden calls of-war toils from helpless
διὰ τεὰν δύναμιν δρακεῖσ' ἀσφαλές.
through your power having-looked secure
θεῶν δ' ἐφετμαῖς Ἰξίονα φαντὶ ταῦτα βροτοῖς
of-the-gods and at-the-behests Ixion they-say this to-mortals
λέγειν ἐν πτερόεντι τροχῷ
to-say on winged wheel
παντᾷ κυλινδόμενον·
every-way rolled
τὸν εὐεργέταν ἀγαναῖς ἀμοιβαῖς ἐποιχομένους τίνεσθαι.
the benefactor with-gentle returns visiting to-repay

ἔμαθε δὲ σαφές. εὐμενέσσι γὰρ παρὰ Κρονίδαις
he-learned and clearly kindly for beside the-sons-of-Cronus
γλυκὺν ἑλὼν βίοτον, μακρὸν οὐχ ὑπέμεινεν
sweet having-taken life long not he-endured
ὄλβον, μαινομέναις φρασὶν
prosperity with-maddened mind
Ἥρας ὅτ' ἐράσσατο, τὰν Διὸς εὐναὶ λάχον
Hera when he-desired whom of-Zeus the-beds were-allotted
πολυγαθέες· ἀλλά νιν ὕβρις εἰς ἀνάταν ὑπεράφανον
joyful but him insolence to delusion arrogant

ὦρσεν· τάχα δὲ παθὼν ἐοικότ᾽ ἀνὴρ
roused soon and suffering fitting-things the-man
ἐξαίρετον ἔλε μόχθον. αἱ δύο δ᾽ ἀμπλακίαι
choice won toil the two and errors
φερέπονοι τελέθοντι· τὸ μὲν ἥρως ὅτι
toil-bringing are the-one indeed hero that
ἐμφύλιον αἷμα πρώτιστος οὐκ ἄτερ τέχνας ἐπέμιξε θνατοῖς,
kindred blood first not without craft mixed for-mortals

ὅτι τε μεγαλοκευθέεσσιν ἔν ποτε θαλάμοις
that and great-hidden in once chambers
Διὸς ἄκοιτιν ἐπειρᾶτο. χρὴ δὲ κατ᾽ αὐτὸν
of-Zeus the-wife he-attempted one-must and by himself
αἰεὶ παντὸς ὁρᾶν μέτρον.
always of-everything to-see the-measure
εὐναὶ δὲ παράτροποι ἐς κακότατ᾽ ἀθρόαν
beds and unlawful into evil thronging
ἔβαλον· ποτὶ καὶ τὸν ἵκοντ᾽· ἐπεὶ νεφέλᾳ παρελέξατο,
cast to even him they-came since with-a-cloud he-lay
ψεῦδος γλυκὺ μεθέπων, ἄϊδρις ἀνήρ·
lie sweet pursuing ignorant man
εἶδος γὰρ ὑπεροχωτάτᾳ πρέπεν οὐρανιᾶν
in-form for to-the-most-eminent was-like of-the-heavenly
θυγατέρι Κρόνου· ἄντε δόλον αὐτῷ θέσαν
daughter of-Cronus which deceit for-him set
Ζηνὸς παλάμαι, καλὸν πῆμα.
of-Zeus the-hands fair bane
τὸν δὲ τετράκναμον ἔπραξε δεσμόν,
the and four-spoked he-wrought bond

ἑὸν ὄλεθρον ὅγ' · ἐν δ' ἀφύκτοισι γυιοπέδαις
his-own ruin he in and inescapable fetters
πεσὼν τὰν πολύκοινον ἀνδέξατ' ἀγγελίαν.
falling the much-shared received message
ἄνευ οἱ Χαρίτων τέκεν γόνον ὑπερφίαλον,
without for-him the-Graces she-bore offspring overweening
μόνα καὶ μόνον, οὔτ' ἐν ἀνδράσι
alone and alone neither among men
γερασφόρον οὔτ' ἐν θεῶν νόμοις·
honored nor in of-gods ordinances
τὸν ὀνύμαξε τράφοισα Κένταυρον, ὃς
whom she-named rearing Centaurus who
ἵπποισι Μαγνητίδεσσι ἐμίγνυτ' ἐν Παλίου
with-mares Magnesian lay in of-Pelion
σφυροῖς, ἐκ δ' ἐγένοντο στρατὸς
foothills from and were-born a-host
θαυμαστός, ἀμφοτέροις
marvelous to-both
ὁμοῖοι τοκεῦσι, τὰ ματρόθεν μὲν κάτω, τὰ δ' ὕπερθε πατρός.
like parents the from-the-mother indeed below the and above of-the-father

θεὸς ἅπαν ἐπὶ ἐλπίδεσσι τέκμαρ ἀνύεται,
god every on hopes end accomplishes
θεός, ὃ καὶ πτερόεντ' αἰετὸν κίχε,
god who even winged eagle overtakes
καὶ θαλασσαῖον παραμείβεται
and sea-dwelling passes
δελφῖνα, καὶ ὑψιφρόνων τιν' ἔκαμψε βροτῶν,
dolphin and of-high-minded some has-bent mortals

ἑτέροισι δὲ κῦδος ἀγήραον παρέδωκ᾽. ἐμὲ δὲ χρεὼν
to-others and glory ageless gave me and it-is-needful
φεύγειν δάκος ἀδινὸν κακαγοριᾶν.
to-flee bite vehement of-slanders
εἶδον γὰρ ἑκὰς ἐὼν τὰ πόλλ᾽ ἐν ἀμαχανίᾳ
I-saw for far being the much in helplessness
ψογερὸν Ἀρχίλοχον βαρυλόγοις ἔχθεσιν
censorious Archilochus with-harsh-words hatreds
πιαινόμενον· τὸ πλουτεῖν δὲ σὺν τύχᾳ πότμου σοφίας ἄριστον.
fattening the being-wealthy and with fortune of-destiny of-wisdom best

τὺ δὲ σάφα νιν ἔχεις, ἐλευθέρᾳ φρενὶ πεπαρεῖν,
you and clearly it have with-free mind to-display
πρύτανι κύριε πολλᾶν μὲν εὐστεφάνων
prince lord of-many indeed well-crowned
ἀγυιᾶν καὶ στρατοῦ. εἰ δέ τις
streets and of-host if and anyone
ἤδη κτεάτεσσί τε καὶ περὶ τιμᾷ λέγει
already in-possessions both and about honor says
ἕτερόν τιν᾽ ἀν᾽ Ἑλλάδα τῶν πάροιθε γενέσθαι ὑπέρτερον,
other any throughout Greece than-those before to-have-been higher
χαύνα πραπίδι παλαιμονεῖ κενεά.
with-slack mind he-wrestles in-vain
εὐανθέα δ᾽ ἀναβάσομαι στόλον ἀμφ᾽ ἀρετᾷ
flowery and I-will-mount ship for excellence
κελαδέων. νεότατι μὲν ἀρήγει θράσος
singing in-youth indeed helps boldness
δεινῶν πολέμων· ὅθεν φαμὶ καὶ σὲ τὰν ἀπείρονα δόξαν εὑρεῖν,
of-terrible wars whence I-say also you the boundless glory to-have-found

τὰ μὲν ἐν ἱπποσόαισιν ἄνδρεσσι μαρνάμενον,
partly indeed among horse-driving men fighting

τὰ δ' ἐν πεζομάχαισι· βουλαὶ δὲ πρεσβύτεραι
partly and among foot-soldiers counsels and elder

ἀκίνδυνον ἐμοὶ ἔπος σὲ ποτὶ πάντα λόγον
safe for-me word you for every account

ἐπαινεῖν παρέχοντι. χαῖρε. τόδε μὲν κατὰ Φοίνισσαν ἐμπολὰν
to-praise furnish farewell this indeed like Phoenician merchandise

μέλος ὑπὲρ πολιᾶς ἁλὸς πέμπεται·
song over gray sea is-sent

τὸ Καστόρειον δ' ἐν Αἰολίδεσσι χορδαῖς ἑκὼν
the Castor-song and on Aeolian strings willingly

ἄθρησον χάριν ἑπτακτύπου
regard the-charm of-the-seven-toned

φόρμιγγος ἀντόμενος.
lyre meeting

γένοι' οἷος ἐσσὶ μαθών· καλός τοι πίθων παρὰ παισίν, αἰεὶ
become such-as you-are having-learned fair you-know an-ape among children always

καλός. ὁ δὲ Ῥαδάμανθυς εὖ πέπραγεν, ὅτι φρενῶν
fair the and Rhadamanthys well has-fared because of-mind

ἔλαχε καρπὸν ἀμώμητον, οὐδ' ἀπάταισι θυμὸν τέρπεται ἔνδοθεν·
he-won fruit blameless nor with-deceits heart delights within

οἷα ψιθύρων παλάμαις ἕπετ' αἰεὶ βροτῷ.
such-as of-whisperers by-the-arts follow always a-mortal

ἄμαχον κακὸν ἀμφοτέροις διαβολιᾶν ὑποφάτιες,
irresistible evil to-both of-slanders the-whisperers

ὀργαῖς ἀτενὲς ἀλωπέκων ἴκελοι.
in-temper exactly of-foxes like

κερδοῖ δὲ τί μάλα τοῦτο κερδαλέον τελέθει;
for-the-fox but how very this profitable is
ἅτε γὰρ εἰνάλιον πόνον ἐχοίσας βαθὺν
like for in-the-sea toil having deep
σκευᾶς ἑτέρας, ἀβάπτιστός εἰμι, φελλὸς ὡς ὑπὲρ ἕρκος ἅλμας.
tackle other undipped I-am cork like above the-net of-the-brine

ἀδύνατα δ' ἔπος ἐκβαλεῖν κραταιὸν ἐν ἀγαθοῖς
impossible and a-word to-cast-out strong among the-good
δόλιον ἀστόν· ὅμως μὰν σαίνων
crafty citizen nevertheless indeed fawning
ποτὶ πάντας, ἄταν πάγχυ διαπλέκει.
on all ruin wholly he-weaves
οὔ οἱ μετέχω θράσεος· φίλον εἴη φιλεῖν·
not his I-share boldness a-friend may-it-be to-love
ποτὶ δ' ἐχθρὸν ἄτ' ἐχθρὸς ἐὼν λύκοιο δίκαν ὑποθεύσομαι,
against and an-enemy like enemy being of-a-wolf in-the-manner I-will-run-at
ἄλλ' ἄλλοτε πατέων ὁδοῖς σκολιαῖς.
other at-other-times treading paths crooked
ἐν πάντα δὲ νόμον εὐθύγλωσσος ἀνὴρ προφέρει,
in every and regime straight-tongued man excels
παρὰ τυραννίδι, χὠπόταν ὁ λάβρος στρατός,
in tyranny and-when the boisterous host
χὤταν πόλιν οἱ σοφοὶ τηρέωντι. χρὴ δὲ πρὸς θεὸν οὐκ ἐρίζειν,
and-when the-city the wise guard one-must and against god not to-strive

ὃς ἀνέχει τοτὲ μὲν τὰ κείνων, τότ' αὖθ' ἑτέροις
who raises-up at-one-time indeed the-things of-those at-another again to-others
ἔδωκεν μέγα κῦδος. ἀλλ' οὐδὲ ταῦτα νόον
gave great glory but not-even these the-mind
ἰαίνει φθονερῶν· στάθμας δέ τινος ἑλκόμενοι
cheer of-the-envious measuring-line and some pulling
περισσᾶς ἐνέπαξαν ἕλκος ὀδυναρὸν ἑᾷ πρόσθε καρδίᾳ,
excessive they-fixed wound painful in-their-own before heart
πρὶν ὅσα φροντίδι μητίονται τυχεῖν.
before what with-thought they-devise to-attain
φέρειν δ' ἐλαφρῶς ἐπαυχένιον λαβόντα ζυγὸν
to-bear and lightly on-the-neck having-taken yoke
ἀρήγει· ποτὶ κέντρον δέ τοι
helps against goad and you-know
λακτιζέμεν τελέθει
to-kick is
ὀλισθηρὸς οἶμος· ἁδόντα δ' εἴη με τοῖς ἀγαθοῖς ὁμιλεῖν.
a-slippery path pleasing and may-it-be me with-the good to-consort

ΙΕΡΩΝΙ ΣΥΡΑΚΟΣΙΩ ΚΕΛΗΤΙ

III · FOR HIERON OF SYRACUSE

The poet wishes Chiron were alive, who reared Asclepius. Coronis, pregnant by Apollo, took a mortal lover and was killed, but Apollo snatched his son from the pyre and gave him to Chiron. Asclepius healed every disease until gold tempted him to raise the dead, and Zeus struck him down. Mortals must seek what befits them. The poet wishes he could bring the sick Hieron health. Even Peleus and Cadmus did not keep their happiness, but song makes excellence last, as for Nestor and Sarpedon.

ἤθελον Χείρωνά κε Φιλλυρίδαν,
I-could-wish Chiron — son-of-Philyra
εἰ χρεὼν τοῦθ' ἁμετέρας ἀπὸ γλώσσας κοινὸν εὔξασθαι ἔπος,
if it-is-right this our from tongue common to-pray word
ζώειν τὸν ἀποιχόμενον,
to-live the departed
Οὐρανίδα γόνον εὐρυμέδοντα Κρόνου,
of-Uranus'-son offspring wide-ruling Cronus
βάσσαισί τ' ἄρχειν Παλίου Φῆρ' ἀγρότερον,
in-glens and to-rule of-Pelion the-Beast wild
νοῦν ἔχοντ' ἀνδρῶν φίλον· οἷος ἐὼν θρέψεν ποτὲ
mind having of-men friendly such-as being he-reared once
τέκτονα νωδυνίας ἄμερον γυιαρκέος Ἀσκλήπιον,
the-builder of-painlessness gentle limb-strengthening Asclepius
ἥρωα παντοδαπᾶν ἀλκτῆρα νούσων.
hero of-all-kinds averter diseases

τὸν μὲν εὐΐππου Φλεγύα θυγάτηρ
him indeed of-well-horsed Phlegyas daughter
πρὶν τελέσσαι ματροπόλῳ σὺν Ἐλειθυίᾳ, δαμεῖσα χρυσέοις
before to-bring-to-term mother-attending with Eleithyia overcome with-golden
τόξοισιν ὕπ' Ἀρτέμιδος,
arrows by Artemis
εἰς Ἀΐδα δόμον ἐν θαλάμῳ κατέβα τέχναις
to of-Hades house in chamber went-down by-the-arts
Ἀπόλλωνος. χόλος δ' οὐκ ἀλίθιος
of-Apollo wrath and not idle
γίνεται παίδων Διός. ἁ δ' ἀποφλαυρίξαισά νιν
is of-the-children of-Zeus she and slighting him
ἀμπλακίαισι φρενῶν, ἄλλον αἴνησεν γάμον κρύβδαν πατρός,
in-errors of-mind another approved marriage secretly from-her-father
πρόσθεν ἀκειρεκόμᾳ μιχθεῖσα Φοίβῳ,
before with-unshorn-haired having-lain Phoebus

καὶ φέροισα σπέρμα θεοῦ καθαρόν.
even bearing seed of-the-god pure
οὐδ' ἔμειν' ἐλθεῖν τράπεζαν νυμφίαν
nor she-awaited to-come table bridal
οὐδὲ παμφώνων ἰαχὰν ὑμεναίων, ἄλικες
nor of-full-voiced cry wedding-songs age-mates
οἷα παρθένοι φιλέοισιν ἑταῖραι
such-as maidens love companions
ἑσπερίαις ὑποκουρίζεσθ' ἀοιδαῖς· ἀλλά τοι
in-evening to-sing-pet-names songs but you-know
ἤρατο τῶν ἀπεόντων· οἷα καὶ πολλοὶ πάθον.
she-desired the absent-things such-as also many suffered

ἔστι δὲ φῦλον ἐν ἀνθρώποισι ματαιότατον,
there-is and a-tribe among men most-foolish
ὅστις αἰσχύνων ἐπιχώρια παπταίνει τὰ πόρσω,
which scorning local-things gazes-at the far-off
μεταμώνια θηρεύων ἀκράντοις ἐλπίσιν.
empty-things hunting with-unfulfilled hopes

ἔσχε τοιαύταν μεγάλαν ἀυάταν
held such great delusion
καλλιπέπλου λῆμα Κορωνίδος. ἐλθόντος γὰρ εὐνάσθη ξένου
of-the-fair-robed the-will Coronis having-come for she-lay-with stranger
λέκτροισιν ἀπ᾽ Ἀρκαδίας.
in-bed from Arcadia
οὐδ᾽ ἔλαθε σκοπόν· ἐν δ᾽ ἄρα μηλοδόκῳ
nor she-escaped the-watcher in and then sheep-receiving
Πυθῶνι τόσσαις ἄϊεν ναοῦ βασιλεὺς
Pytho chancing-to-be heard of-the-temple the-king
Λοξίας, κοινᾶνι παρ᾽ εὐθυτάτῳ γνώμαν πιθών,
Loxias confidant beside most-straight mind trusting
πάντα ἰσάντι νόῳ· ψευδέων δ᾽ οὐχ ἅπτεται· κλέπτει τέ νιν
all knowing mind falsehoods and not touches deceives and him
οὐ θεὸς οὐ βροτὸς ἔργοις οὔτε βουλαῖς.
neither god nor mortal by-deeds nor counsels

καὶ τότε γνοὺς Ἴσχυος Εἰλατίδα
and then knowing of-Ischys son-of-Eilatus
ξεινίαν κοίταν ἄθεμίν τε δόλον, πέμψεν κασιγνήταν μένει
stranger's bed lawless and deceit he-sent sister with-might
θύοισαν ἀμαιμακέτῳ
raging irresistible
ἐς Λακέρειαν. ἐπεὶ παρὰ Βοιβιάδος κρημνοῖσιν
to Lacereia since by of-Boebias banks
ᾤκει παρθένος. δαίμων δ' ἕτερος
dwelt the-maiden spirit and another
ἐς κακὸν τρέψαις ἐδαμάσσατό νιν· καὶ γειτόνων
to evil turning overcame her and of-neighbors
πολλοὶ ἐπαῦρον, ἁμᾷ δ' ἔφθαρεν,
many shared together and perished
πολλὰν δ' ὄρει πῦρ ἐξ ἑνὸς
much and on-mountain fire from one
σπέρματος ἐνθορὸν ἀΐστωσεν ὕλαν.
spark leaping destroyed forest

ἀλλ' ἐπεὶ τείχει θέσαν ἐν ξυλίνῳ
but when wall they-set in wooden
σύγγονοι κούραν, σέλας δ' ἀμφέδραμεν
the-kinsmen the-girl the-blaze and ran-around
λάβρον Ἀφαίστου, τότ' ἔειπεν Ἀπόλλων· "Οὐκέτι
fierce of-Hephaestus then spoke Apollo No-longer
τλάσομαι ψυχᾷ γένος ἀμὸν ὀλέσσαι
shall-I-endure in-soul race my to-destroy
οἰκτροτάτῳ θανάτῳ ματρὸς βαρείᾳ σὺν πάθᾳ."
by-most-piteous death the-mother's heavy with suffering

ὣς φάτο· βάματι δ' ἐν πρώτῳ κιχὼν παῖδ' ἐκ νεκροῦ
so he-spoke the-stride and at first reaching the-child from corpse
ἅρπασε· καιομένα δ' αὐτῷ διέφαινε πυρά·
snatched burning and for-him parted the-pyre
καί ῥά νιν Μάγνητι φέρων πόρε Κενταύρῳ διδάξαι
and then him to-the-Magnesian bearing gave Centaur to-teach
πολυπήμονας ἀνθρώποισιν ἰᾶσθαι νόσους.
much-paining for-men to-heal diseases

τοὺς μὲν ὧν, ὅσσοι μόλον αὐτοφύτων
them indeed then as-many-as came of-self-grown
ἑλκέων ξυνάονες, ἢ πολιῷ χαλκῷ μέλη τετρωμένοι
sores companions or with-gray bronze in-limbs wounded
ἢ χερμάδι τηλεβόλῳ,
or with-stone far-hurled
ἢ θερινῷ πυρὶ περθόμενοι δέμας ἢ χειμῶνι,
or by-summer fire wasted in-body or by-winter
λύσαις ἄλλον ἀλλοίων ἀχέων
freeing one from-another pains
ἔξαγεν, τοὺς μὲν μαλακαῖς ἐπαοιδαῖς ἀμφέπων,
he-led-out some indeed with-gentle spells attending
τοὺς δὲ προσανέα πίνοντας, ἢ γυίοις περάπτων πάντοθεν
others and soothing-potions drinking or to-limbs fastening-round on-all-sides
φάρμακα, τοὺς δὲ τομαῖς ἔστασεν ὀρθούς.
remedies others and by-incisions set straight

ἀλλὰ κέρδει καὶ σοφία δέδεται.
but by-gain even wisdom is-bound
ἔτραπεν καὶ κεῖνον ἀγάνορι μισθῷ χρυσὸς ἐν χερσὶν φανεὶς
turned even him with-lordly wage gold in hands appearing
ἄνδρ' ἐκ θανάτου κομίσαι
a-man from death to-bring-back
ἤδη ἁλωκότα· χερσὶ δ' ἄρα Κρονίων ῥίψαις
already caught with-hands and then son-of-Cronus hurling
δι' ἀμφοῖν ἀμπνοὰν στέρνων κάθελεν
through both breath of-the-breast took-away
ὠκέως, αἴθων δὲ κεραυνὸς ἐνέσκιμψεν μόρον.
swiftly blazing and thunderbolt hurled-down doom
χρὴ τὰ ἐοικότα πὰρ δαιμόνων μαστευέμεν θναταῖς φρασίν,
it-is-needful the fitting from gods to-seek with-mortal minds
γνόντα τὸ πὰρ ποδός, οἵας εἰμὲν αἴσας.
knowing the-thing at foot of-what we-are lot

μή, φίλα ψυχά, βίον ἀθάνατον
not dear soul life immortal
σπεῦδε, τὰν δ' ἔμπρακτον ἄντλει μαχανάν.
strive-for the and practicable exhaust resource

εἰ δὲ σώφρων ἄντρον ἔναι᾽ ἔτι Χείρων, καί τί οἱ
if and wise in-the-cave dwelt still Chiron and somewhat to-him
φίλτρον ἐν θυμῷ μελιγάρυες ὕμνοι
a-charm in heart honey-voiced hymns
ἁμέτεροι τίθεν· ἰατῆρά τοί κέν νιν πίθον
our had-set as-healer you-know — him I-would-have-persuaded
καί νυν ἐσλοῖσι παρασχεῖν ἀνδράσιν θερμᾶν νόσων
even now to-good to-furnish men of-feverish diseases
ἤ τινα Λατοΐδα κεκλημένον ἢ πατέρος.
or someone of-Leto's-son called or of-the-father
καί κεν ἐν ναυσὶν μόλον Ἰονίαν τάμνων θάλασσαν
and — in ships I-would-have-come Ionian cleaving sea
Ἀρέθοισαν ἐπὶ κράναν παρ᾽ Αἰτναῖον ξένον,
Arethusa at spring to Aetnaean host

ὃς Συρακόσσαισι νέμει βασιλεὺς
who in-Syracuse rules king
πραΰς ἀστοῖς, οὐ φθονέων ἀγαθοῖς, ξείνοις δὲ θαυμαστὸς πατήρ.
gentle to-citizens not grudging to-the-good to-strangers and wondrous father
τῷ μὲν διδύμας χάριτας,
to-him indeed twofold graces
εἰ κατέβαν ὑγίειαν ἄγων χρυσέαν κῶμόν τ᾽
if I-had-come-down health bringing golden revel and
ἀέθλων Πυθίων αἴγλαν στεφάνοις.
of-the-games Pythian the-glory with-crowns
τοὺς ἀριστεύων Φερένικος ἕλ᾽ ἐν Κίρρᾳ ποτέ,
which excelling Pherenicus won in Cirrha once

ἀστέρος οὐρανίου φαμὶ τηλαυγέστερον κείνῳ φάος
than-star heavenly I-say more-far-shining for-him light
ἐξικόμαν κε βαθὺν πόντον περάσαις.
I-would-have-come — deep sea having-crossed

ἀλλ᾽ ἐπεύξασθαι μὲν ἐγὼν ἐθέλω
but to-pray indeed I wish
Ματρί, τὰν κοῦραι παρ᾽ ἐμὸν πρόθυρον
to-the-Mother whom maidens by my porch
σὺν Πανὶ μέλπονται θαμὰ
with Pan sing often
σεμνὰν θεὸν ἐννύχιαι.
holy goddess at-night
εἰ δὲ λόγων συνέμεν κορυφάν, Ἱέρων,
if and of-words to-understand the-crown Hieron
ὀρθὰν ἐπίστᾳ, μανθάνων οἶσθα προτέρων·
right you-know learning you-know of-former-men
“ Ἓν παρ᾽ ἐσλὸν πήματα σύνδυο δαίονται βροτοῖς
One beside good woes two apportion to-mortals
ἀθάνατοι.” τὰ μὲν ὦν οὐ δύνανται νήπιοι κόσμῳ φέρειν,
the-immortals these indeed then not are-able fools gracefully to-bear
ἀλλ᾽ ἀγαθοί, τὰ καλὰ τρέψαντες ἔξω.
but the-good the fair turning outward

τὶν δὲ μοῖρ᾽ εὐδαιμονίας ἕπεται.
for-you and a-portion of-happiness follows
λαγέταν γάρ τοι τύραννον δέρκεται,
a-leader for you-know tyrant beholds

εἴ τιν᾽ ἀνθρώπων, ὁ μέγας πότμος. αἰὼν δ᾽ ἀσφαλὴς
if any of-men the great destiny life and secure
οὐκ ἔγεντ᾽ οὔτ᾽ Αἰακίδᾳ παρὰ Πηλεῖ
not was neither the-son-of-Aeacus beside Peleus
οὔτε παρ᾽ ἀντιθέῳ Κάδμῳ· λέγονται μὰν βροτῶν
nor beside godlike Cadmus they-are-said indeed of-mortals
ὄλβον ὑπέρτατον οἳ σχεῖν, οἵτε καὶ χρυσαμπύκων
prosperity highest who to-have-won who even of-golden-filleted
μελπομενᾶν ἐν ὄρει Μοισᾶν καὶ ἐν ἑπταπύλοις
singing on mountain the-Muses and in seven-gated
ἄϊον Θήβαις, ὁπόθ᾽ Ἁρμονίαν γᾶμεν βοῶπιν,
heard Thebes when Harmonia he-married ox-eyed
ὁ δὲ Νηρέος εὐβούλου Θέτιν παῖδα κλυτάν.
he and of-Nereus wise Thetis child glorious

καὶ θεοὶ δαίσαντο παρ᾽ ἀμφοτέροις,
and gods feasted beside both
καὶ Κρόνου παῖδας βασιλῆας ἴδον
and of-Cronus the-sons kings they-saw
χρυσέαις ἐν ἕδραις, ἕδνα τε
golden on seats wedding-gifts and
δέξαντο· Διὸς δὲ χάριν
they-received of-Zeus and by-favor
ἐκ προτέρων μεταμειψάμενοι καμάτων ἔστασαν
from former changing toils they-set
ὀρθὰν καρδίαν. ἐν δ᾽ αὖτε χρόνῳ
upright heart in and again time

τὸν μὲν ὀξείαισι θύγατρες ἐρήμωσαν πάθαις
him indeed with-sharp the-daughters bereft sufferings
εὐφροσύνας μέρος αἱ τρεῖς· ἀτὰρ λευκωλένῳ γε Ζεὺς πατὴρ
of-gladness part the three but with-white-armed indeed Zeus father
ἤλυθεν ἐς λέχος ἱμερτὸν Θυώνᾳ.
came to bed lovely Thyone

τοῦ δὲ παῖς, ὅνπερ μόνον ἀθανάτα
of-the-other and the-son whom alone the-immortal
τίκτεν ἐν Φθίᾳ Θέτις, ἐν πολέμῳ τόξοις ἀπὸ ψυχὰν λιπὼν
bore in Phthia Thetis in war by-arrows away life leaving
ὦρσεν πυρὶ καιόμενος
roused by-fire burning
ἐκ Δαναῶν γόον. εἰ δὲ νόῳ τις ἔχει θνατῶν
from the-Danaans lament if and in-mind any holds of-mortals
ἀλαθείας ὁδόν, χρὴ πρὸς μακάρων
of-truth the-road it-is-needful from the-blessed
τυγχάνοντ᾽ εὖ πασχέμεν. ἄλλοτε δ᾽ ἀλλοῖαι πνοαὶ
meeting well to-fare at-other-times and various blasts
ὑψιπετᾶν ἀνέμων. ὄλβος οὐκ ἐς μακρὸν ἀνδρῶν ἔρχεται
of-high-flying winds prosperity not for long of-men comes
σάος, πολὺς εὖτ᾽ ἂν ἐπιβρίσαις ἕπηται.
safe much when — weighing-down it-follows

σμικρὸς ἐν σμικροῖς, μέγας ἐν μεγάλοις
small among small-things great among great
ἔσσομαι· τὸν ἀμφέποντ᾽ αἰεὶ φρασὶν
I-will-be the attending always in-mind
δαίμον᾽ ἀσκήσω κατ᾽ ἐμὰν θεραπεύων μαχανάν.
fortune I-will-cultivate by my serving means
εἰ δέ μοι πλοῦτον θεὸς ἁβρὸν ὀρέξαι,
if and to-me wealth god luxurious should-extend
ἐλπίδ᾽ ἔχω κλέος εὑρέσθαι κεν ὑψηλὸν πρόσω.
hope I-have glory to-win — high hereafter
Νέστορα καὶ Λύκιον Σαρπηδόν᾽, ἀνθρώπων φάτις,
Nestor and Lycian Sarpedon of-men the-talk
ἐξ ἐπέων κελαδεννῶν, τέκτονες οἷα σοφοὶ
from words resounding builders such-as wise
ἄρμοσαν, γιγνώσκομεν. ἁ δ᾽ ἀρετὰ κλειναῖς ἀοιδαῖς
fitted we-know the and excellence by-glorious songs
χρονία τελέθει. παύροις δὲ πράξασθ᾽ εὐμαρές.
lasting becomes for-few and to-achieve easy

ΑΡΚΕΣΙΛΑΙ ΚΥΡΗΝΑΙΩΙ ΑΡΜΑΤΙ

IV · FOR ARCESILAS OF CYRENE

For Arcesilas' Pythian chariot victory, the poet recalls Medea's prophecy that the clod given to Euphamus would make Thera the mother of Cyrene, founded by Battus. The one-sandaled Jason claims Iolcus from Pelias, who sends him for the golden fleece. He sails to Colchis, yokes Aeetes' fire-breathing bulls with Medea's help, kills the serpent guarding the fleece, and carries off Medea. At Lemnos Euphamus' line begins. With the riddle of a stripped oak, the poet asks Arcesilas to recall the exiled Damophilus.

Σάμερον μὲν χρή σε παρ᾽ ἀνδρὶ φίλῳ
Today indeed it-is-needful you beside a-man dear
στᾶμεν, εὐΐππου βασιλῆϊ Κυράνας,
to-stand of-well-horsed the-king Cyrene
ὄφρα κωμάζοντι σὺν Ἀρκεσίλᾳ,
so-that with-him-reveling with Arcesilas
Μοῖσα, Λατοίδαισιν ὀφειλόμενον Πυθῶνί τ᾽
Muse to-Leto's-children owed to-Pytho and
αὔξῃς οὖρον ὕμνων,
you-may-swell the-breeze of-hymns
ἔνθα ποτὲ χρυσέων Διὸς αἰητῶν πάρεδρος,
where once of-the-golden of-Zeus eagles sitting-beside
οὐκ ἀποδάμου Ἀπόλλωνος τυχόντος, ἱέρεα
not abroad Apollo being the-priestess
χρῆσεν οἰκιστῆρα Βάττον καρποφόρου Λιβύας, ἱερὰν
declared colonist Battus of-fruitful Libya holy
νᾶσον ὡς ἤδη λιπὼν κτίσσειεν εὐάρματον
island that already leaving he-should-found of-fine-chariots
πόλιν ἐν ἀργεννόεντι μαστῷ,
city on gleaming-white breast

καὶ τὸ Μηδείας ἔπος ἀγκομίσαι
and the of-Medea word to-bring-to-fulfillment
ἑβδόμᾳ καὶ σὺν δεκάτᾳ γενεᾷ Θήραιον,
in-the-seventh and with tenth generation Theran
Αἰήτα τό ποτε ζαμενὴς
of-Aeetes which once mighty
παῖς ἀπέπνευσ' ἀθανάτου στόματος,
child breathed-forth from-immortal mouth
δέσποινα Κόλχων. εἶπε δ' οὕτως
queen of-the-Colchians she-spoke and thus
ἡμιθέοισιν Ἰάσονος αἰχματᾶο ναύταις·
to-the-demigods of-Jason spearman sailors
"Κέκλυτε, παῖδες ὑπερθύμων τε φωτῶν καὶ θεῶν·
Hear sons of-high-spirited both men and gods
φαμὶ γὰρ τᾶσδ' ἐξ ἁλιπλάκτου ποτὲ γᾶς Ἐπάφοιο κόραν
I-say for this from sea-beaten once land of-Epaphus the-daughter
ἀστέων ῥίζαν φυτεύσεσθαι μελησιμβρότων
of-cities root to-plant dear-to-mortals
Διὸς ἐν Ἄμμωνος θεμέθλοις.
of-Zeus in Ammon foundations

ἀντὶ δελφίνων δ' ἐλαχυπτερύγων ἵππους ἀμείψαντες θοάς,
for dolphins and short-finned horses exchanging swift
ἁνία τ' ἀντ' ἐρετμῶν δίφρους τε νωμάσοισιν ἀελλόποδας.
reins and instead-of oars cars and will-ply storm-footed

κεῖνος ὄρνις ἐκτελευτάσει μεγαλᾶν πολίων
that omen will-accomplish of-great cities
μητρόπολιν Θήραν γενέσθαι, τόν ποτε Τριτωνίδος ἐν προχοαῖς
mother-city Thera to-become which once of-Tritonis at the-outflow
λίμνας θεῷ ἀνέρι εἰδομένῳ γαῖαν διδόντι
the-lake to-a-god a-man resembling earth giving
ξείνια πρῴραθεν Εὔφαμος καταβὰς
as-guest-gift from-the-prow Euphamus descending
δέξατ'· αἴσιον δ' ἐπί οἱ Κρονίων
received auspicious and upon for-him son-of-Cronus
Ζεὺς πατὴρ ἔκλαγξε βροντάν·
Zeus father clanged thunder

ἀνίκ' ἄγκυραν ποτὶ χαλκόγενυν
when anchor to bronze-jawed
ναῒ κρημνάντων ἐπέτοσσε, θοᾶς
the-ship they-were-hanging he-came-upon of-swift
Ἀργοῦς χαλινόν. δώδεκα δὲ πρότερον
Argo the-bridle twelve and before
ἁμέρας ἐξ Ὠκεανοῦ φέρομεν νώτων ὕπερ γαίας ἐρήμων
days from Ocean we-were-carrying backs over of-earth desolate
εἰνάλιον δόρυ, μήδεσιν ἀνσπάσσαντες ἀμοῖς.
sea-going timber by-counsels drawing-up my

τουτάκι δ' οἰοπόλος δαίμων ἐπῆλθεν, φαιδίμαν
then and the-solitary god came shining
ἀνδρὸς αἰδοίου πρόσοψιν θηκάμενος· φιλίων δ' ἐπέων
of-a-man revered the-face putting-on of-friendly and words
ἄρχετο, ξείνοις ἅτ' ἐλθόντεσσιν εὐεργέται
he-began to-strangers as coming benefactors
δεῖπν' ἐπαγγέλλοντι πρῶτον.
a-meal offer first

ἀλλὰ γὰρ νόστου πρόφασις γλυκεροῦ
but for of-return the-plea sweet
κώλυεν μεῖναι. φάτο δ' Εὐρύπυλος
prevented to-stay he-said and Eurypylus
Γαιαόχου παῖς ἀφθίτου Ἐννοσίδα
of-the-Earth-holder son immortal Earth-shaker
ἔμμεναι· γίγνωσκε δ' ἐπειγομένους· ἂν δ'
to-be he-perceived and them-hastening up and
εὐθὺς ἁρπάξαις ἀρούρας
at-once snatching of-the-plowland
δεξιτερᾷ προτυχὸν ξένιον μάστευσε δοῦναι.
with-right-hand chance guest-gift he-sought to-give
οὐδ' ἀπίθησέ νιν, ἀλλ' ἥρως ἐπ' ἀκταῖσιν θορὼν
nor disobeyed him but the-hero on shore leaping
χειρί οἱ χεῖρ' ἀντερείσαις δέξατο βώλακα δαιμονίαν.
hand his hand pressing-against received clod divine
πεύθομαι δ' αὐτὰν κατακλυσθεῖσαν ἐκ δούρατος
I-hear and it washed-overboard from the-ship
ἐναλίαν βᾶμεν σὺν ἅλμᾳ
in-the-sea to-go with brine

ἑσπέρας, ὑγρῷ πελάγει σπομέναν. ἦ μάν νιν ὤτρυνον θαμὰ
at-evening the-watery sea following truly indeed it I-urged often
λυσιπόνοις θεραπόντεσσιν φυλάξαι· τῶν δ' ἐλάθοντο φρένες·
to-the-toil-relieving servants to-guard of-them and forgot the-minds
καί νυν ἐν τᾷδ' ἄφθιτον νάσῳ κέχυται Λιβύας
and now in this immortal island is-spilled of-Libya
εὐρυχόρου σπέρμα πρὶν ὥρας· εἰ γὰρ οἴκοι νιν βάλε πὰρ χθόνιον
wide-spaced seed before the-season if for at-home it had-cast by chthonic
Ἄιδα στόμα, Ταίναρον εἰς ἱερὰν Εὔφαμος ἐλθών,
of-Hades mouth Taenarus to holy Euphamus coming
υἱὸς ἱππάρχου Ποσειδάωνος ἄναξ,
son of-horse-ruling Poseidon lord
τόν ποτ' Εὐρώπα Τιτυοῦ θυγάτηρ τίκτε Καφισοῦ παρ' ὄχθαις·
whom once Europa of-Tityus daughter bore of-Cephisus by banks

τετράτων παίδων κ' ἐπιγινομένων
of-the-fourth sons — coming-after
αἷμά οἱ κείναν λάβε σὺν Δαναοῖς
blood his that would-have-taken with Danaans
εὐρεῖαν ἄπειρον. τότε γὰρ μεγάλας
broad mainland then for great
ἐξανίστανται Λακεδαίμονος Ἀργείου τε κόλπου καὶ Μυκηνᾶν.
they-rise-up of-Lacedaemon of-Argive and gulf and of-Mycenae

νῦν γε μὲν ἀλλοδαπᾶν κριτὸν εὑρήσει γυναικῶν
now indeed indeed of-foreign chosen he-will-find women
ἐν λέχεσιν γένος, οἵ κεν τάνδε σὺν τιμᾷ θεῶν
in beds a-race who — this with honor of-gods
νᾶσον ἐλθόντες τέκωνται φῶτα κελαινεφέων πεδίων
island coming will-beget a-man of-dark-clouded plains
δεσπόταν· τὸν μὲν πολυχρύσῳ ποτ' ἐν δώματι
master him indeed gold-rich once in house
Φοῖβος ἀμνάσει θέμισσιν
Phoebus will-remind by-oracles

Πύθιον ναὸν καταβάντα χρόνῳ
Pythian temple coming-down in-time
ὑστέρῳ, νάεσσι πολεῖς ἀγαγὲν Νείλοιο
later in-ships many to-lead of-the-Nile
πρὸς πῖον τέμενος Κρονίδα."
to rich precinct of-the-son-of-Cronus
ἦ ῥα Μηδείας ἐπέων στίχες. ἔπταξαν δ' ἀκίνητοι σιωπᾷ
truly then of-Medea of-words the-lines cowered and motionless in-silence
ἥρωες ἀντίθεοι πυκινὰν μῆτιν κλύοντες.
heroes godlike shrewd counsel hearing
ὦ μάκαρ υἱὲ Πολυμνάστου, σὲ δ' ἐν τούτῳ λόγῳ
O blessed son of-Polymnastus you and in this word
χρησμὸς ὤρθωσεν μελίσσας Δελφίδος αὐτομάτῳ κελάδῳ·
the-oracle set-up of-the-bee Delphian with-spontaneous cry
ἅ σε χαίρειν ἐς τρὶς αὐδάσαισα πεπρωμένον
who you to-hail to thrice crying fated
βασιλέ' ἄμφανεν Κυράνᾳ,
king declared for-Cyrene

δυσθρόου φωνᾶς ἀνακρινόμενον ποινὰ τίς ἔσται πρὸς θεῶν.
of-hard-to-utter voice asking requital what will-be from the-gods
ἦ μάλα δὴ μετὰ καὶ νῦν, ὥστε φοινικανθέμου ἦρος ἀκμᾷ,
truly very indeed after also now as of-crimson-flowered spring at-the-peak
παισὶ τούτοις ὄγδοον θάλλει μέρος Ἀρκεσίλας·
among-sons these eighth flourishes branch Arcesilas
τῷ μὲν Ἀπόλλων ἅ τε Πυθὼ κῦδος ἐξ ἀμφικτιόνων ἔπορεν
to-him indeed Apollo the and Pytho glory from the-neighbors gave
ἱπποδρομίας. ἀπὸ δ' αὐτὸν ἐγὼ Μοίσαισι δώσω
of-horse-racing away and him I to-the-Muses will-give
καὶ τὸ πάγχρυσον νάκος κριοῦ· μετὰ γὰρ
and the all-golden fleece of-the-ram after for
κεῖνο πλευσάντων Μινυᾶν, θεόπομποί σφισιν τιμαὶ φύτευθεν.
it sailing the-Minyans god-sent to-them honors were-planted

τίς γὰρ ἀρχὰ δέξατο ναυτιλίας;
what for beginning received of-the-voyage
τίς δὲ κίνδυνος κρατεροῖς ἀδάμαντος
what and danger with-strong of-adamant
δῆσεν ἄλοις; θέσφατον ἦν Πελίαν
bound nails ordained it-was Pelias
ἐξ ἀγαυῶν Αἰολιδᾶν θανέμεν χείρεσσιν ἢ βουλαῖς ἀκάμπτοις.
by proud Aeolids to-die by-hands or counsels unbending
ἦλθε δέ οἱ κρυόεν πυκινῷ μάντευμα θυμῷ,
came and to-him chilling to-shrewd oracle heart
πὰρ μέσον ὀμφαλὸν εὐδένδροιο ῥηθὲν ματέρος·
at mid navel of-well-wooded spoken the-mother
τὸν μονοκρήπιδα πάντως ἐν φυλακᾷ σχεθέμεν μεγάλᾳ,
the one-sandaled by-all-means in guard to-keep great

εὖτ᾽ ἂν αἰπεινῶν ἀπὸ σταθμῶν ἐς εὐδείελον
when — steep from steadings to sunny
χθόνα μόλῃ κλειτᾶς Ἰωλκοῦ,
land he-comes of-famous Iolcus

ξεῖνος αἴτ᾽ ὢν ἀστός. ὁ δ᾽ ἆρα χρόνῳ
stranger or then townsman he and then in-time
ἵκετ᾽ αἰχμαῖσιν διδύμαισιν ἀνὴρ ἔκπαγλος·
came with-spears two man terrible
ἐσθὰς δ᾽ ἀμφοτέρα νιν ἔχεν,
garb and twofold him clothed
ἅ τε Μαγνήτων ἐπιχώριος ἁρμόζοισα θαητοῖσι γυίοις,
the and of-the-Magnesians native fitting wondrous limbs
ἀμφὶ δὲ παρδαλέᾳ στέγετο φρίσσοντας ὄμβρους·
around and with-leopard-skin he-was-shielded shivering rains
οὐδὲ κομᾶν πλόκαμοι κερθέντες ᾤχοντ᾽ ἀγλαοί,
nor of-hair the-locks shorn had-gone splendid
ἀλλ᾽ ἅπαν νῶτον καταίθυσσον. τάχα δ᾽ εὐθὺς ἰὼν σφετέρας
but all back rippled-down quickly and straight going his
ἐστάθη γνώμας ἀταρμύκτοιο πειρώμενος
he-stood mind unflinching testing
ἐν ἀγορᾷ πλήθοντος ὄχλου.
in the-marketplace thronging crowd

τὸν μὲν οὐ γίγνωσκον· ὀπιζομένων δ' ἔμπας τις εἶπεν καὶ τόδε·
him indeed not they-knew of-the-awed and nevertheless one said also this
"Οὔτι που οὗτος Ἀπόλλων, οὐδὲ μὰν χαλκάρματός ἐστι πόσις
Not-at-all surely this-is Apollo nor indeed bronze-charioted is husband
Ἀφροδίτας· ἐν δὲ Νάξῳ φαντὶ θανεῖν λιπαρᾷ
of-Aphrodite in and Naxos they-say to-have-died shining
Ἰφιμεδείας παῖδας, Ὦτον καὶ σέ, τολμάεις Ἐφιάλτα ἄναξ.
of-Iphimedeia the-sons Otus and you daring Ephialtes lord
καὶ μὰν Τιτυὸν βέλος Ἀρτέμιδος θήρευσε κραιπνόν
and indeed Tityus the-arrow of-Artemis hunted swift
ἐξ ἀνικάτου φαρέτρας ὀρνύμενον,
from invincible quiver sped
ὄφρα τις τᾶν ἐν δυνατῷ φιλοτάτων ἐπιψαύειν ἔραται."
that one of-the in power loves to-touch may-desire

τοὶ μὲν ἀλλάλοισιν ἀμειβόμενοι
they indeed to-each-other answering
γάρυον τοιαῦτ'· ἀνὰ δ' ἡμιόνοις
spoke such-things on and mules
ξεστᾷ τ' ἀπήνᾳ προτροπάδαν Πελίας
polished and car headlong Pelias
ἵκετο σπεύδων· τάφε δ' αὐτίκα
came hastening was-astonished and at-once
παπτάναις ἀρίγνωτον πέδιλον
gazing-at well-known sandal
δεξιτερῷ μόνον ἀμφὶ ποδί. κλέπτων δὲ θυμῷ
right only on foot hiding and in-heart

δεῖμα προσέννεπε· "Ποίαν γαῖαν, ὦ ξεῖν', εὔχεαι
fear he-addressed What land O stranger do-you-claim
πατρίδ' ἔμμεν; καὶ τίς ἀνθρώπων σε χαμαιγενέων πολιᾶς
fatherland to-be and who of-men you earth-born from-gray
ἐξανῆκεν γαστρός; ἐχθίστοισι μὴ ψεύδεσιν
sent-forth womb with-most-hateful not falsehoods
καταμιάναις εἰπὲ γένναν."
defiling tell your-race

τὸν δὲ θαρσήσαις ἀγανοῖσι λόγοις
him and taking-courage with-gentle words
ὧδ' ἀμείφθη· "Φαμὶ διδασκαλίαν Χείρωνος
thus answered I-say teaching of-Chiron
οἴσειν. ἀντρόθε γὰρ νέομαι
to-bear from-the-cave for I-come
πὰρ Χαρικλοῦς καὶ Φιλύρας,
from Chariclo and Philyra
ἵνα Κενταύρου με κοῦραι θρέψαν ἁγναί.
where of-the-Centaur me daughters reared holy
εἴκοσι δ' ἐκτελέσαις ἐνιαυτοὺς οὔτε ἔργον
twenty and completing years neither deed
οὔτ' ἔπος ἐντράπελον κείνοισιν εἰπὼν ἱκόμαν
nor word unseemly to-them having-said I-came
οἶκαδ', ἀρχαίαν κομίζων πατρὸς ἐμοῦ βασιλευομέναν
home ancient recovering of-father my ruled
οὐ κατ' αἶσαν, τάν ποτε Ζεὺς ὤπασεν λαγέτᾳ
not according-to right which once Zeus granted to-the-leader
Αἰόλῳ καὶ παισί, τιμάν.
Aeolus and his-sons honor

πεύθομαι γάρ νιν Πελίαν ἄθεμιν λευκαῖς πιθήσαντα φρασὶν
I-hear for him Pelias lawless to-white yielding wits
ἀμετέρων ἀποσυλᾶσαι βιαίως ἀρχεδικᾶν τοκέων·
from-our to-have-robbed violently rightful-ruling parents
τοί μ', ἐπεὶ πάμπρωτον εἶδον φέγγος, ὑπερφιάλου
who me when first I-saw light of-the-overweening
ἀγεμόνος δείσαντες ὕβριν, κᾶδος ὡσείτε φθιμένου δνοφερὸν
ruler fearing the-insolence mourning as-if for-one-dead dark
ἐν δώμασι θηκάμενοι, μίγα κωκυτῷ γυναικῶν
in house setting-up mingled with-wailing of-women
κρύβδα πέμπον σπαργάνοις ἐν πορφυρέοις,
secretly sent swaddling-clothes in purple
νυκτὶ κοινάσαντες ὁδόν, Κρονίδᾳ δὲ
by-night sharing the-road to-the-son-of-Cronus and
τράφεν Χείρωνι δῶκαν.
to-rear to-Chiron they-gave

ἀλλὰ τούτων μὲν κεφάλαια λόγων
but of-these indeed the-heads words
ἴστε. λευκίππων δὲ δόμους πατέρων,
you-know of-white-horsed and the-house fathers
κεδνοὶ πολῖται, φράσσατέ μοι σαφέως·
trusty citizens show me clearly
Αἴσονος γὰρ παῖς ἐπιχώριος οὐ ξείναν ἱκάνω γαῖαν ἄλλων.
of-Aeson for son native not strange I-come-to land of-others
Φὴρ δέ με θεῖος Ἰάσονα κικλήσκων προσηύδα."
the-Beast and me divine Jason calling addressed
ὣς φάτο. τὸν μὲν ἐσελθόντ' ἔγνον ὀφθαλμοὶ πατρός.
so he-spoke him indeed coming-in knew the-eyes of-his-father

ἐκ δ' ἄρ' αὐτοῦ πομφόλυξαν δάκρυα γηραλέων γλεφάρων,
from and then his burst tears aged eyelids
ἂν περὶ ψυχὰν ἐπεὶ γάθησεν ἐξαίρετον
his-own around soul since he-rejoiced choice
γόνον ἰδὼν κάλλιστον ἀνδρῶν.
offspring seeing fairest of-men

καὶ κασίγνητοί σφισιν ἀμφότεροι
and brothers his both
ἦλυθον κείνου γε κατὰ κλέος· ἐγγὺς μὲν
came of-him indeed at the-fame near indeed
Φέρης κράναν Ὑπερῇδα λιπών,
Pheres spring Hypereian leaving
ἐκ δὲ Μεσσάνας Ἀμυθάν· ταχέως δ'
from and Messene Amythaon quickly and
Ἄδματος ἷκεν καὶ Μέλαμπος,
Admetus came and Melampus
εὐμενέοντες ἀνεψιόν. ἐν δαιτὸς δὲ μοίρᾳ
kindly-disposed-to their-cousin in of-the-feast and share
μειλιχίοισι λόγοις αὐτοὺς Ἰάσων δέγμενος,
with-gentle words them Jason receiving
ξείνι' ἁρμόζοντα τεύχων, πᾶσαν εὐφροσύναν τάνυεν,
hospitality fitting making all good-cheer prolonged
ἀθρόαις πέντε δραπὼν νύκτεσσιν ἔν θ' ἁμέραις
together five plucking nights in and days
ἱερὸν εὐζοίας ἄωτον.
holy of-good-life the-flower

ἀλλ᾽ ἐν ἕκτᾳ πάντα, λόγον θέμενος σπουδαῖον, ἐξ ἀρχᾶς ἀνὴρ
but on the-sixth all word laying earnest from beginning the-man
συγγενέσιν παρεκοινᾶθ᾽· οἱ δ᾽ ἐπέσποντ᾽· αἶψα δ᾽ ἀπὸ κλισιᾶν
to-kinsmen communicated they and followed straightway and from the-couches
ὦρτο σὺν κείνοισι. καί ῥ᾽ ἦλθον Πελία μέγαρον·
rose with them and then they-came of-Pelias to-the-hall
ἐσσύμενοι δ᾽ εἴσω κατέσταν. τῶν δ᾽ ἀκούσαις αὐτὸς ὑπαντίασεν
rushing and within stood them and hearing himself met
Τυροῦς ἐρασιπλοκάμου γενεά· πραΰν δ᾽ Ἰάσων
of-Tyro lovely-haired the-offspring gentle and Jason
μαλθακᾷ φωνᾷ ποτιστάζων ὄαρον
with-soft voice distilling discourse
βάλλετο κρηπῖδα σοφῶν ἐπέων· "Παῖ Ποσειδᾶνος Πετραίου,
laid foundation of-wise words Son of-Poseidon Rock-god

ἐντὶ μὲν θνατῶν φρένες ὠκύτεραι
are indeed of-mortals minds swifter
κέρδος αἰνῆσαι πρὸ δίκας δόλιον, τραχεῖαν
gain to-praise before justice crafty rough
ἕρπόντων πρὸς ἔπιβδαν ὅμως·
going toward reckoning nevertheless
ἀλλ᾽ ἐμὲ χρὴ καὶ σὲ θεμισσαμένους
but me it-is-needful and you ordering
ὀργὰς ὑφαίνειν λοιπὸν ὄλβον.
tempers to-weave future prosperity

εἰδότι τοι ἐρέω· μία βοῦς Κρηθεῖ τε μάτηρ
to-one-knowing you-know I-will-speak one cow to-Cretheus both mother
καὶ θρασυμήδεϊ Σαλμωνεῖ· τρίταισιν δ' ἐν γοναῖς
and to-bold-counseled Salmoneus third and in generations
ἄμμες αὖ κείνων φυτευθέντες σθένος ἀελίου χρύσεον
we again from-them sprung the-might of-the-sun golden
λεύσσομεν. Μοῖραι δ' ἀφίσταντ', εἴ τις ἔχθρα πέλει
behold the-Fates and stand-aloof if any enmity is
ὁμογόνοις, αἰδῶ καλύψαι.
among-kin shame to-hide

οὐ πρέπει νῷν χαλκοτόροις ξίφεσιν
not befits us-two with-bronze-piercing swords
οὐδ' ἀκόντεσσιν μεγάλαν προγόνων τιμὰν
nor with-javelins great of-ancestors honor
δάσασθαι. μῆλά τε γάρ τοι ἐγὼ
to-divide sheep both for you-know I
καὶ βοῶν ξανθὰς ἀγέλας ἀφίημ' ἀγρούς τε πάντας, τοὺς ἀπούραις
and of-cattle tawny herds give-up fields and all which having-robbed
ἀμετέρων τοκέων νέμεαι, πλοῦτον πιαίνων·
from-our parents you-graze wealth fattening
κοὔ με πονεῖ τεὸν οἶκον ταῦτα πορσύνοντ' ἄγαν·
and-not me it-pains your house these-things providing excessively
ἀλλὰ καὶ σκᾶπτον μόναρχον καὶ θρόνος, ᾧ ποτε Κρηθεΐδας
but also scepter sole-ruling and throne on-which once the-son-of-Cretheus
ἐγκαθίζων ἱππόταις εὔθυνε λαοῖς δίκας,
sitting for-horsemen made-straight peoples justice
τὰ μὲν ἄνευ ξυνᾶς ἀνίας
these indeed without common pain

λῦσον ἄμμιν, μή τι νεώτερον ἐξ αὐτῶν ἀναστάῃ κακόν."
release for-us lest some newer from them arise evil
ὣς ἄρ' ἔειπεν. ἀκᾷ δ' ἀνταγόρευσεν καὶ Πελίας· " Ἔσομαι
so then he-spoke quietly and answered also Pelias I-will-be
τοῖος· ἀλλ' ἤδη με γηραιὸν μέρος ἁλικίας
such but already me aged portion of-life
ἀμφιπολεῖ· σὸν δ' ἄνθος ἥβας ἄρτι
attends your and flower of-youth just-now
κυμαίνει· δύνασαι δ' ἀφελεῖν
swells you-are-able and to-take-away
μᾶνιν χθονίων. κέλεται γὰρ ἑὰν ψυχὰν κομίξαι
the-wrath of-those-below bids for his soul to-bring-back
Φρίξος ἐλθόντας πρὸς Αἰήτα θαλάμους,
Phrixus going to of-Aeetes the-chambers
δέρμα τε κριοῦ βαθύμαλλον ἄγειν,
skin and of-the-ram deep-fleeced to-bring
τῷ ποτ' ἐκ πόντου σαώθη
by-which once from sea he-was-saved

ἔκ τε ματρυιᾶς ἀθέων βελέων.
from and stepmother's godless shafts
ταῦτά μοι θαυμαστὸς ὄνειρος ἰὼν φωνεῖ.
these-things to-me wondrous dream coming speaks
μεμάντευμαι δ' ἐπὶ Κασταλίᾳ,
I-have-inquired and at Castalia
εἰ μετάλλατόν τι. καὶ ὡς τάχος
whether to-be-pursued at-all and as quickly
ὀτρύνει με τεύχειν ναὶ πομπάν.
urges me to-make for-ship mission

τοῦτον ἄεθλον ἑκὼν τέλεσον· καί τοι μοναρχεῖν
this contest willingly accomplish and you-know to-rule-alone
καὶ βασιλευέμεν ὄμνυμι προήσειν. καρτερὸς
and to-be-king I-swear to-yield strong
ὅρκος ἄμμιν μάρτυς ἔστω Ζεὺς ὁ γενέθλιος ἀμφοτέροις."
oath for-us witness let-be Zeus the of-the-race to-both
σύνθεσιν ταύταν ἐπαινήσαντες οἱ μὲν κρίθεν·
compact this approving they indeed parted
ἀτὰρ Ἰάσων αὐτὸς ἤδη
but Jason himself already

ὤρνυεν κάρυκας ἐόντα πλόον
roused heralds the-actual voyage
φαινέμεν παντᾷ. τάχα δὲ Κρονίδαο
to-announce everywhere quickly and of-the-son-of-Cronus
Ζηνὸς υἱοὶ τρεῖς ἀκαμαντομάχαι
of-Zeus sons three tireless-in-battle
ἦλθον Ἀλκμήνας θ' ἑλικοβλεφάρου Λήδας τε, δοιοὶ δ' ὑψιχαῖται
came of-Alcmena both of-quick-glancing Leda and two and high-haired
ἀνέρες, Ἐννοσίδα γένος, αἰδεσθέντες ἀλκάν,
men of-the-Earth-shaker the-race respecting valor
ἔκ τε Πύλου καὶ ἀπ' ἄκρας Ταινάρου· τῶν μὲν κλέος
from both Pylos and from tip of-Taenarus whose indeed fame
ἐσλὸν Εὐφάμου τ' ἐκράνθη σόν τε, Περικλύμεν' εὐρυβία.
good of-Euphamus both was-fulfilled yours and Periclymenus wide-mighty
ἐξ Ἀπόλλωνος δὲ φορμικτὰς ἀοιδᾶν πατὴρ
from Apollo and the-lyre-player of-songs father
ἔμολεν, εὐαίνητος, Ὀρφεύς.
came much-praised Orpheus

πέμπε δ' Ἑρμᾶς χρυσόραπις διδύμους υἱοὺς ἐπ' ἄτρυτον πόνον,
sent and Hermes golden-wanded twin sons to unwearying toil
τὸν μὲν Ἐχίονα, κεχλάδοντας ἥβᾳ, τὸν δ' Ἔρυτον. ταχέες
the one Echion bursting with-youth the other Erytus swift
ἀμφὶ Παγγαίου θεμέθλοις ναιετάοντες ἔβαν·
round of-Pangaeus foundations dwelling they-came
καὶ γὰρ ἑκὼν θυμῷ γελανεῖ θᾶσσον ἔντυνεν βασιλεὺς ἀνέμων
and for willingly with-heart smiling swiftly equipped the-king of-winds
Ζήταν Κάλαΐν τε πατὴρ Βορέας, ἄνδρας πτεροῖσιν
Zetes Calais and father Boreas men with-wings
νῶτα πεφρίκοντας ἄμφω πορφυρέοις.
backs bristling both purple
τὸν δὲ παμπειθῆ γλυκὺν ἡμιθέοισιν πόθον ἔνδαιεν Ἥρα
the and all-persuading sweet in-the-demigods longing kindled Hera

ναὸς Ἀργοῦς, μή τινα λειπόμενον
for-the-ship Argo lest any being-left
τὰν ἀκίνδυνον παρὰ ματρὶ μένειν αἰῶνα
the riskless by mother to-remain life
πέσσοντ', ἀλλ' ἐπὶ καὶ θανάτῳ
coddling but at even death
φάρμακον κάλλιστον ἑᾶς ἀρετᾶς ἄλιξιν εὑρέσθαι σὺν ἄλλοις.
remedy fairest of-his-own excellence age-mates to-find with others
ἐς δ' Ἰαωλκὸν ἐπεὶ κατέβα ναυτᾶν ἄωτος,
to and Iolcus when came-down of-sailors the-flower

λέξατο πάντας ἐπαινήσαις Ἰάσων. καί ῥά οἱ
counted all approving Jason and then for-him
μάντις ὀρνίχεσσι καὶ κλάροισι θεοπροπέων ἱεροῖς
the-seer by-birds and lots prophesying holy
Μόψος ἄμβασε στρατὸν πρόφρων. ἐπεὶ δ' ἐμβόλου
Mopsus embarked the-host gladly when and the-ram
κρέμασαν ἀγκύρας ὕπερθεν,
they-hung the-anchors above

χρυσέαν χείρεσσι λαβὼν φιάλαν
golden in-hands taking bowl
ἀρχὸς ἐν πρύμνᾳ πατέρ' Οὐρανιδᾶν
the-chief at stern the-father of-the-Uranids
ἐγχεικέραυνον Ζῆνα, καὶ ὠκυπόρους
spear-thundering Zeus and swift
κυμάτων ῥιπὰς ἀνέμων τ' ἐκάλει,
of-waves rushes of-winds and called-on
νύκτας τε καὶ πόντου κελεύθους
nights both and of-sea paths
ἄματά τ' εὔφρονα καὶ φιλίαν νόστοιο μοῖραν·
days and kindly and friendly of-return lot
ἐκ νεφέων δέ οἱ ἀντάϋσε βροντᾶς αἴσιον
from clouds and to-him answered of-thunder auspicious
φθέγμα· λαμπραὶ δ' ἦλθον ἀκτῖνες στεροπᾶς ἀπορηγνύμεναι·
sound bright and came flashes of-lightning bursting-forth
ἀμπνοὰν δ' ἥρωες ἔστασαν θεοῦ σάμασιν
breath and the-heroes took of-the-god signs
πιθόμενοι· κάρυξε δ' αὐτοῖς
trusting proclaimed and to-them

ἐμβαλεῖν κώπαισι τερασκόπος ἀδείας ἐνίπτων ἐλπίδας·
to-fall-to to-the-oars the-seer sweet uttering hopes
εἰρεσία δ' ὑπεχώρησεν ταχειᾶν ἐκ παλαμᾶν ἄκορος.
the-rowing and sped swift from hands unsated
σὺν Νότου δ' αὔραις ἐπ' Ἀξείνου στόμα πεμπόμενοι
with of-South-wind and breezes to of-the-Inhospitable mouth sent
ἦλυθον· ἔνθ' ἁγνὸν Ποσειδάωνος ἔσσαντ' εἰναλίου τέμενος,
they-came there holy of-Poseidon set-up sea-dwelling precinct
φοίνισσα δὲ Θρηϊκίων ἀγέλα ταύρων ὑπᾶρχεν
red and of-Thracian herd bulls was-at-hand
καὶ νεόκτιστον λίθων βωμοῖο θέναρ.
and newly-founded of-stones of-altar hollow
ἐς δὲ κίνδυνον βαθὺν ἱέμενοι δεσπόταν λίσσοντο ναῶν,
into and danger deep rushing the-lord they-besought of-ships

συνδρόμων κινηθμὸν ἀμαιμάκετον
of-clashing motion irresistible
ἐκφυγεῖν πετρᾶν. δίδυμαι γὰρ ἔσαν ζωαί,
to-escape the-rocks twin for were living
κυλινδέσκοντό τε κραιπνότεραι
rolled and swifter
ἢ βαρυγδούπων ἀνέμων στίχες·
than of-loud-roaring winds ranks
ἀλλ' ἤδη τελευτὰν κεῖνος αὐταῖς
but already an-end that to-them
ἡμιθέων πλόος ἄγαγεν. ἐς Φᾶσιν δ' ἔπειτεν
of-the-demigods voyage brought to Phasis and then

ἦλυθον· ἔνθα κελαινώπεσσι Κόλχοισιν βίαν
they-came there with-dark-faced Colchians force
μῖξαν Αἰήτᾳ παρ' αὐτῷ. πότνια δ' ὀξυτάτων βελέων
mingled Aeetes beside himself the-queen and of-sharpest shafts
ποικίλαν ἴυγγα τετράκναμον Οὐλυμπόθεν
dappled wryneck four-spoked from-Olympus
ἐν ἀλύτῳ ζεύξαισα κύκλῳ
on unloosable binding wheel

μαινάδ' ὄρνιν Κυπρογένεια φέρεν
maddening bird the-Cyprus-born brought
πρῶτον ἀνθρώποισι, λιτάς τ' ἐπαοιδὰς
first to-men supplications and spells
ἐκδιδάσκησεν σοφὸν Αἰσονίδαν·
taught wise the-son-of-Aeson
ὄφρα Μηδείας τοκέων ἀφέλοιτ'
so-that from-Medea of-her-parents he-might-take-away
αἰδῶ, ποθεινὰ δ' Ἑλλὰς αὐτὰν
reverence longed-for and Greece her
ἐν φρασὶ καιομέναν δονέοι μάστιγι Πειθοῦς.
in heart burning might-whirl with-the-whip of-Persuasion
καὶ τάχα πείρατ' ἀέθλων δείκνυεν πατρωΐων·
and quickly the-ends of-the-tasks she-showed paternal
σὺν δ' ἐλαίῳ φαρμακώσαισ' ἀντίτομα στερεᾶν ὀδυνᾶν
with and oil drugging antidotes of-stubborn pains
δῶκε χρίεσθαι. καταίνησαν τε κοινὸν γάμον
she-gave to-anoint they-agreed and common marriage
γλυκὺν ἐν ἀλλάλοισι μῖξαι.
sweet in each-other to-join

ἀλλ᾽ ὅτ᾽ Αἰήτας ἀδαμάντινον ἐν μέσσοις ἄροτρον σκίμψατο
but when Aeetes adamantine in midst plow set
καὶ βόας, οἳ φλόγ᾽ ἀπὸ ξανθᾶν γενύων πνέον καιομένοιο πυρός,
and oxen which flame from tawny jaws breathed of-burning fire
χαλκέαις δ᾽ ὁπλαῖς ἀράσσεσκον χθόν᾽ ἀμειβόμενοι,
with-bronze and hoofs smote the-ground stepping-alternately
τοὺς ἀγαγὼν ζεύγλᾳ πέλασσεν μοῦνος.
them bringing to-the-yoke he-brought alone
ὀρθὰς δ᾽ αὔλακας ἐντανύσαις
straight and furrows stretching
ἤλαυν᾽, ἀνὰ βωλακίας δ᾽ ὀρόγυιαν σχίζε νῶτον
drove up of-cloddy and a-fathom split back
γᾶς. ἔειπεν δ᾽ ὧδε· "Τοῦτ᾽ ἔργον βασιλεύς,
earth he-spoke and thus This work the-king
ὅστις ἄρχει ναός, ἐμοὶ τελέσαις ἄφθιτον στρωμνὰν ἀγέσθω,
whoever commands the-ship for-me accomplishing immortal coverlet let-him-take

κῶας αἰγλᾶεν χρυσέῳ θυσάνῳ."
fleece gleaming with-golden fringe
ὣς ἄρ᾽ αὐδάσαντος ἀπὸ κροκόεν ῥίψαις Ἰάσων εἶμα θεῷ πίσυνος
so then having-spoken off saffron flinging Jason robe in-god trusting
εἶχετ᾽ ἔργου· πῦρ δέ νιν οὐκ ἐόλει
set-to the-work fire and him not harmed
παμφαρμάκου ξείνας ἐφετμαῖς.
of-the-all-skilled stranger-woman by-commands

σπασσάμενος δ' ἄροτρον, βοέους δήσαις ἀνάγκας
drawing and the-plow oxen's binding constraining
ἔντεσιν αὐχένας ἐμβάλλων τ' ἐριπλεύρῳ φυᾷ
in-harness necks thrusting and into-huge-ribbed body
κέντρον αἰανὲς βιατὰς ἐξεπόνησ' ἐπιτακτὸν ἀνὴρ
goad terrible mighty accomplished the-appointed the-man
μέτρον. ἴϋξεν δ' ἀφωνήτῳ περ ἔμπας ἄχει
measure cried-out and with-voiceless though nevertheless grief
δύνασιν Αἰήτας ἀγασθείς.
strength Aeetes admiring

πρὸς δ' ἑταῖροι καρτερὸν ἄνδρα φίλας
toward and the-companions mighty man dear
ὤρεγον χεῖρας, στεφάνοισί τέ νιν ποίας
stretched hands with-crowns and him of-grass
ἔρεπτον, μειλιχίοις τε λόγοις
covered with-gentle and words
ἀγαπάζοντ'. αὐτίκα δ' Ἠελίου θαυμαστὸς υἱὸς δέρμα λαμπρὸν
welcoming at-once and of-Helios wondrous son the-skin bright
ἔννεπεν, ἔνθα νιν ἐκτάνυσαν Φρίξου μάχαιραι·
told where it stretched-out of-Phrixus the-knives
ἤλπετο δ' οὐκέτι οἱ κεῖνόν γε πράξεσθαι πόνον.
he-hoped and no-longer for-him that indeed to-accomplish labor
κεῖτο γὰρ λόχμᾳ, δράκοντος δ' εἴχετο λαβροτατᾶν γενύων,
it-lay for in-thicket of-serpent and was-held fiercest jaws
ὅς πάχει μάκει τε πεντηκόντορον ναῦν κράτει,
which in-thickness in-length and fifty-oared ship exceeded
τέλεσαν ἂν πλαγαὶ σιδάρου.
accomplished which blows of-iron

μακρά μοι νεῖσθαι κατ᾽ ἀμαξιτόν· ὥρα γὰρ συνάπτει· καί τινα
long for-me to-go along highroad the-hour for closes and some
οἶμον ἴσαμι βραχύν· πολλοῖσι δ᾽ ἄγημαι σοφίας ἑτέροις.
path I-know short to-many and I-lead of-skill others
κτεῖνε μὲν γλαυκῶπα τέχναις ποικιλόνωτον ὄφιν,
he-killed indeed gray-eyed by-arts speckle-backed snake
ὦ Ἀρκεσίλα, κλέψεν τε Μήδειαν σὺν αὐτᾷ, τὰν Πελίαο φόνον·
O Arcesilas stole and Medea with herself the of-Pelias death
ἔν τ᾽ Ὠκεανοῦ πελάγεσσι μίγεν πόντῳ τ᾽ ἐρυθρῷ
in and of-Ocean seas they-mingled sea and red
Λαμνιᾶν τ᾽ ἔθνει γυναικῶν ἀνδροφόνων·
of-Lemnian and with-the-race women man-slaying
ἔνθα καὶ γυίων ἀέθλοις ἐπέδειξαν κρίσιν ἐσθᾶτος ἀμφίς,
there also of-limbs in-contests they-showed trial clothing for

καὶ συνεύνασθεν. καὶ ἐν ἀλλοδαπαῖς
and lay-with and in foreign
σπέρμ᾽ ἀρούραις τουτάκις ὑμετέρας ἀκτῖνος
seed fields then of-your beam
ὄλβου δέξατο μοιρίδιον
of-prosperity received fated
ἆμαρ ἢ νύκτες. τόθι γὰρ γένος Εὐφάμου φυτευθὲν λοιπὸν αἰεὶ
day or nights there for the-race of-Euphamus planted thenceforth always
τέλλετο· καὶ Λακεδαιμονίων μιχθέντες ἀνδρῶν
grew and of-Lacedaemonian mingling men

ἤθεσι τάν ποτε Καλλίσταν ἀπῴκησαν χρόνῳ
in-the-ways which once Calliste they-settled in-time
νᾶσον· ἔνθεν δ' ὔμμι Λατοΐδας ἔπορεν Λιβύας πεδίον
island thence and to-you Leto's-son granted of-Libya plain
σὺν θεῶν τιμαῖς ὀφέλλειν, ἄστυ χρυσοθρόνου
with of-gods honors to-prosper the-town of-golden-throned
διανέμειν θεῖον Κυράνας
to-govern divine Cyrene

ὀρθόβουλον μῆτιν ἐφευρομένοις.
upright-counseling plan devising
γνῶθι νῦν τὰν Οἰδιπόδα σοφίαν. εἰ γάρ τις
know now the of-Oedipus wisdom if for anyone
ὄζους ὀξυτόμῳ πελέκει
the-branches with-sharp-cutting axe
ἐξερείψειεν μεγάλας δρυός, αἰσχύνοι δέ οἱ θαητὸν εἶδος·
should-strip of-great oak should-shame and its wondrous form
καὶ φθινόκαρπος ἐοῖσα διδοῖ ψᾶφον περ' αὐτᾶς,
even fruitless being it-gives verdict about itself
εἴ ποτε χειμέριον πῦρ ἐξίκηται λοίσθιον·
if ever wintry fire it-reaches at-last
ἢ σὺν ὀρθαῖς κιόνεσσιν δεσποσύναισιν ἐρειδομένα
or with upright pillars of-a-master resting
μόχθον ἄλλοις ἀμφέπει δύστανον ἐν τείχεσιν,
toil among-others performs wretched in walls
ἑὸν ἐρημώσαισα χῶρον.
its-own leaving-desolate place

ἐσσὶ δ' ἰατὴρ ἐπικαιρότατος, Παιάν τέ σοι τιμᾷ φάος·
you-are and healer most-timely Paean and you honors light
χρὴ μαλακὰν χέρα προσβάλλοντα
it-is-needful gentle hand applying
τρώμαν ἕλκεος ἀμφιπολεῖν.
wound of-sore to-tend
ῥᾴδιον μὲν γὰρ πόλιν σεῖσαι καὶ ἀφαυροτέροις·
easy indeed for city to-shake even for-feebler-men
ἀλλ' ἐπὶ χώρας αὖτις ἔσσαι δυσπαλὲς δὴ γίγνεται, ἐξαπίνας
but upon place again to-set hard indeed becomes suddenly
εἰ μὴ θεὸς ἀγεμόνεσσι κυβερνατὴρ γένηται.
if not god for-the-leaders pilot becomes
τὶν δὲ τούτων ἐξυφαίνονται χάριτες.
for-you and of-these are-woven graces
τλᾶθι τᾶς εὐδαίμονος ἀμφὶ Κυράνας θέμεν σπουδὰν ἅπασαν.
dare the prosperous about Cyrene to-set zeal all

τῶν δ' Ὁμήρου καὶ τόδε συνθέμενος
of-the and of-Homer also this taking-to-heart
ῥῆμα πόρσυν'· ἄγγελον ἐσλὸν ἔφα τιμὰν
saying heed messenger good he-said honor
μεγίσταν πράγματι παντὶ φέρειν·
greatest to-matter every to-bring
αὔξεται καὶ Μοῖσα δι' ἀγγελίας ὀρθᾶς. ἐπέγνω μὲν Κυράνα
is-exalted even the-Muse through message upright knew indeed Cyrene
καὶ τὸ κλεεννότατον μέγαρον Βάττου δικαιᾶν
and the most-famous hall of-Battus of-the-just
Δαμοφίλου πραπίδων. κεῖνος γὰρ ἐν παισὶν νέος,
of-Damophilus mind he for among boys young

ἐν δὲ βουλαῖς πρέσβυς ἐγκύρσαις ἑκατονταετεῖ βιοτᾷ,
in and counsels elder meeting hundred-year life
ὀρφανίζει μὲν κακὰν γλῶσσαν φαεννᾶς ὀπός,
bereaves indeed evil tongue of-bright voice
ἔμαθε δ' ὑβρίζοντα μισεῖν,
learned and the-insolent to-hate

οὐκ ἐρίζων ἀντία τοῖς ἀγαθοῖς,
not contending against the good
οὐδὲ μακύνων τέλος οὐδέν. ὁ γὰρ καιρὸς
nor delaying end any the for right-moment
πρὸς ἀνθρώπων βραχὺ μέτρον ἔχει.
among men short measure has
εὖ νιν ἔγνωκεν· θεράπων δέ οἱ, οὐ δράστας
well it he-knew servant and to-it not menial
ὀπαδεῖ. φαντὶ δ' ἔμμεν
he-attends they-say and to-be
τοῦτ' ἀνιαρότατον, καλὰ γιγνώσκοντ' ἀνάγκᾳ
this most-grievous noble-things knowing by-necessity
ἐκτὸς ἔχειν πόδα. καὶ μὰν κεῖνος Ἄτλας οὐρανῷ
outside to-keep foot and indeed that Atlas with-the-sky
προσπαλαίει νῦν γε πατρῴας ἀπὸ γᾶς ἀπό τε κτεάνων·
wrestles now indeed ancestral from land from and possessions
λῦσε δὲ Ζεὺς ἄφθιτος Τιτᾶνας. ἐν δὲ χρόνῳ
released and Zeus immortal the-Titans in and time
μεταβολαὶ λήξαντος οὔρου
changes having-ceased the-breeze

ἱστίων. ἀλλ᾽ εὔχεται οὐλομέναν νοῦσον διαντλήσαις ποτὲ
of-sails but he-prays baneful disease having-drained-to-the-end at-last
οἶκον ἰδεῖν, ἐπ᾽ Ἀπόλλωνός τε κράνᾳ συμποσίας ἐφέπων
home to-see at of-Apollo and spring drinking-parties attending
295 θυμὸν ἐκδόσθαι πρὸς ἥβαν πολλάκις, ἔν τε σοφοῖς
heart to-give-up to youth often among and wise
δαιδαλέαν φόρμιγγα βαστάζων πολίταις ἡσυχίᾳ θιγέμεν,
intricate lyre lifting citizens in-peace to-touch
μήτ᾽ ὢν τινι πῆμα πορών, ἀπαθὴς δ᾽ αὐτὸς πρὸς ἀστῶν.
neither then to-anyone harm bringing unharmed and himself from citizens
καί κε μυθήσαιθ᾽ ὁποίαν, Ἀρκεσίλα,
and — he-might-tell what-sort Arcesilas
εὗρε παγὰν ἀμβροσίων ἐπέων, πρόσφατον Θήβᾳ ξενωθείς.
he-found spring of-ambrosial words lately at-Thebes being-a-guest

ΑΡΚΕΣΙΛΑΙ ΚΥΡΗΝΑΙΩΙ ΑΡΜΑΤΙ

V · FOR ARCESILAS OF CYRENE

Wealth joined with pure excellence brings many friends. The poet praises Arcesilas, king of Cyrene, for his Pythian chariot victory. His charioteer Carrhotus brought the chariot whole through a race in which forty fell. Apollo set fear in the lions that fled from Battus' voice. The Aegeidae, the poet's ancestors, came from Sparta to Thera. Battus paved a road for Apollo's processions and lies at its end, and the dead kings below hear the song. The poet prays for an Olympic victory.

Ὁ πλοῦτος εὐρυσθενής,
The wealth wide-mighty
ὅταν τις ἀρετᾷ κεκραμένον καθαρᾷ
when one with-excellence blended pure
βροτήσιος ἀνὴρ πότμου παραδόντος, αὐτὸν ἀνάγῃ
mortal man destiny granting it leads
πολύφιλον ἑπέταν.
rich-in-friends companion
ὦ θεόμορ' Ἀρκεσίλα,
O god-favored Arcesilas
σύ τοί νιν κλυτᾶς
you you-know it of-glorious
αἰῶνος ἀκρᾶν βαθμίδων ἄπο
life topmost steps from
σὺν εὐδοξίᾳ μετανίσεαι
with good-repute you-pursue
ἔκατι χρυσαρμάτου Κάστορος·
by-favor-of golden-charioted Castor

εὐδίαν ὃς μετὰ χειμέριον ὄμβρον τεὰν
fair-weather who after wintry rain your
καταιθύσσει μάκαιραν ἑστίαν.
gleams-down-on blessed hearth

σοφοὶ δέ τοι κάλλιον
the-wise and you-know more-nobly
φέροντι καὶ τὰν θεόσδοτον δύναμιν.
bear even the god-given power
σὲ δ' ἐρχόμενον ἐν δίκᾳ πολὺς ὄλβος ἀμφινέμεται·
you and walking in justice much prosperity surrounds
τὸ μέν, ὅτι βασιλεὺς
it indeed because king
ἐσσὶ μεγαλᾶν πολίων,
you-are of-great cities
ἔχει συγγενὴς
has inborn
ὀφθαλμὸς αἰδοιότατον γέρας
eye most-revered prize
τεᾷ τοῦτο μιγνύμενον φρενί·
with-your this blended mind
μάκαρ δὲ καὶ νῦν, κλεεννᾶς ὅτι
blessed and also now glorious because
εὖχος ἤδη παρὰ Πυθιάδος ἵπποις ἑλὼν
boast already from the-Pythian-games with-horses having-won
δέδεξαι τόνδε κῶμον ἀνέρων,
you-have-received this revel of-men

Ἀπολλώνιον ἄθυρμα. τῷ σε μὴ λαθέτω
Apollo's delight therefore you not let-it-escape
Κυράνας γλυκὺν ἀμφὶ κᾶπον Ἀφροδίτας ἀειδόμενον,
of-Cyrene sweet around garden of-Aphrodite being-sung
παντὶ μὲν θεὸν αἴτιον ὑπερτιθέμεν·
to-everything indeed god as-cause to-set-over
φιλεῖν δὲ Κάρρωτον ἔξοχ' ἑταίρων·
to-love and Carrhotus beyond companions
ὃς οὐ τὰν Ἐπιμαθέος ἄγων
who not — of-Epimetheus bringing
ὀψινόου θυγατέρα Πρόφασιν, Βαττιδᾶν
late-minded daughter Excuse of-the-Battiads
ἀφίκετο δόμους θεμισκρεόντων·
came to-the-house rightly-ruling
ἀλλ' ἀρισθάρματον
but best-chariot
ὕδατι Κασταλίας ξενωθεὶς γέρας ἀμφέβαλε τεαῖσιν κόμαις,
by-water of-Castalia being-a-guest prize he-cast-around your hair

ἀκηράτοις ἀνίαις
with-unharmed reins
ποδαρκέων δωδεκάδρομον τέμενος.
of-swift-footed twelve-lapped precinct
κατέκλασε γὰρ ἐντέων σθένος οὐδέν· ἀλλὰ κρέμαται,
he-broke for of-the-gear strength nothing but it-hangs

ὁπόσα χεριαρᾶν
as-much-as of-skillful
τεκτόνων δαίδαλ᾽ ἄγων
craftsmen works bringing
Κρισαῖον λόφον
Crisaean hill
ἄμειψεν ἐν κοιλόπεδον νάπος
he-passed in hollow-floored glen
θεοῦ· τό σφ᾽ ἔχει κυπαρίσσινον
of-the-god which them holds of-cypress
μέλαθρον ἀμφ᾽ ἀνδριάντι σχεδόν,
hall by statue near
Κρῆτες ὃν τοξοφόροι τέγεϊ Παρνασσίῳ
the-Cretans which archers in-chamber Parnassian
καθέσσαντο μονόδροπον φυτόν.
dedicated single-grown trunk

ἑκόντι τοίνυν πρέπει
with-willing therefore it-befits
νόῳ τὸν εὐεργέταν ὑπαντιάσαι.
mind the benefactor to-meet
Ἀλεξιβιάδα, σὲ δ᾽ ἠΰκομοι φλέγοντι Χάριτες.
son-of-Alexibias you and lovely-haired light-up Graces

μακάριος, ὃς ἔχεις
blessed who have
καὶ πεδὰ μέγαν κάματον
even after great toil
λόγων φερτάτων
of-words best
μναμήἰ· ἐν τεσσαράκοντα γὰρ
memorials among forty for
πετόντεσσιν ἀνιόχοις ὅλον
falling charioteers whole
δίφρον κομίξαις ἀταρβεῖ φρενί,
chariot bringing-safe with-fearless mind
ἦλθες ἤδη Λιβύας πεδίον ἐξ ἀγλαῶν
you-came already of-Libya to-the-plain from splendid
ἀέθλων καὶ πατρωΐαν πόλιν.
games and ancestral city

πόνων δ᾽ οὔ τις ἀπόκλαρός ἐστιν οὔτ᾽ ἔσεται·
of-toils and not anyone without-share is nor will-be
ὁ Βάττου δ᾽ ἕπεται παλαιὸς ὄλβος ἔμπαν τὰ καὶ τὰ νέμων,
the of-Battus but follows ancient prosperity nevertheless this and that dispensing
πύργος ἄστεος ὄμμα τε φαεννότατον
tower of-the-city eye and brightest
ξένοισι. κεῖνόν γε καὶ βαρύκομποι
to-strangers him indeed even loud-roaring
λέοντες περὶ δείματι φύγον,
lions about fear fled
γλῶσσαν ἐπεί σφιν ἀπένεικεν ὑπερποντίαν·
voice since to-them he-brought-forth over-sea

ὁ δ' ἀρχαγέτας ἔδωκ' Ἀπόλλων
— and founder gave Apollo
θῆρας αἰνῷ φόβῳ,
the-beasts to-dread fear
ὄφρα μὴ ταμίᾳ Κυράνας ἀτελὴς γένοιτο μαντεύμασιν.
so-that not to-the-steward of-Cyrene unfulfilled should-be oracles

ὃ καὶ βαρειᾶν νόσων
who also of-grievous diseases
ἀκέσματ' ἄνδρεσσι καὶ γυναιξὶ νέμει,
remedies to-men and to-women dispenses
πόρεν τε κίθαριν, δίδωσί τε Μοῖσαν οἷς ἂν ἐθέλῃ,
gave and the-lyre gives and the-Muse to-whom — he-wishes
ἀπόλεμον ἀγαγὼν
unwarlike bringing
ἐς πραπίδας εὐνομίαν,
into hearts good-order
μυχόν τ' ἀμφέπει
recess and attends
μαντήϊον· τῷ Λακεδαίμονι
prophetic by-which in-Lacedaemon
ἐν Ἄργει τε καὶ ζαθέᾳ Πύλῳ
in Argos both and very-holy Pylos
ἔνασσεν ἀλκάεντας Ἡρακλέος
he-settled the-valiant of-Heracles
ἐκγόνους Αἰγιμιοῦ τε. τὸ δ' ἐμὸν γαρύειν
descendants of-Aegimius and the and my to-sing
ἀπὸ Σπάρτας ἐπήρατον κλέος·
from Sparta lovely glory

ὅθεν γεγενναμένοι
whence born
ἵκοντο Θήρανδε φῶτες Αἰγείδαι,
came to-Thera men Aegeids
ἐμοὶ πατέρες, οὐ θεῶν ἄτερ, ἀλλὰ μοῖρά τις ἄγεν·
my fathers not gods without but fate some led
πολύθυτον ἔρανον
much-sacrificed banquet
ἔνθεν ἀναδεξάμενοι,
thence having-received
Ἄπολλον, τεᾷ,
Apollo your
Καρνήϊ', ἐν δαιτὶ σεβίζομεν
Carneian in feast we-honor
Κυράνας ἀγακτιμέναν πόλιν·
of-Cyrene nobly-founded city
ἔχοντι τὰν χαλκοχάρμαι ξένοι
hold which bronze-armed strangers
Τρῶες Ἀντανορίδαι. σὺν Ἑλένᾳ γὰρ μόλον,
Trojans sons-of-Antenor with Helen for came
καπνωθεῖσαν πάτραν ἐπεὶ ἴδον
smoked fatherland when they-saw

ἐν Ἄρει. τὸ δ' ἐλάσιππον ἔθνος ἐνδυκέως
in Ares the and horse-driving race kindly
δέκονται θυσίαισιν ἄνδρες οἰχνέοντές σφε δωροφόροι,
receive with-sacrifices men visiting them gift-bearing

τοὺς Ἀριστοτέλης ἄγαγε, ναυσὶ θοαῖς
whom Aristoteles brought with-ships swift
ἁλὸς βαθεῖαν κέλευθον ἀνοίγων.
of-the-sea deep path opening
κτίσεν δ' ἄλσεα μείζονα θεῶν,
he-founded and groves greater of-gods
εὐθύτομόν τε κατέθηκεν Ἀπολλωνίαις
straight-cut and he-laid-down for-Apollo's
ἀλεξιμβρότοις πεδιάδα πομπαῖς
mortal-guarding level processions
ἔμμεν ἱππόκροτον
to-be horse-trampled
σκυρωτὰν ὁδόν, ἔνθα πρυμνοῖς ἀγορᾶς
paved road where end of-the-marketplace
ἔπι δίχα κεῖται θανών.
upon apart lies dead

μάκαρ μὲν ἀνδρῶν μέτα
blessed indeed men among
ἔναιεν, ἥρως δ' ἔπειτα λαοσεβής.
he-dwelt hero and afterward worshiped-by-the-people

ἄτερθε δὲ πρὸ δωμάτων ἕτεροι λαχόντες Ἀΐδαν
apart and before houses others having-got Hades
βασιλέες ἱεροὶ
kings holy
ἐντί, μεγάλαν δ' ἀρετὰν
are great and excellence
δρόσῳ μαλθακᾷ
with-dew soft
ῥανθεῖσαν κώμων ὑπὸ χεύμασιν,
sprinkled of-revels under the-streams
ἀκούοντί που χθονίᾳ φρενί,
hear surely with-nether mind
σφὸν ὄλβον υἱῷ τε κοινὰν χάριν
their prosperity for-the-son and common grace
ἔνδικόν τ' Ἀρκεσίλᾳ. τὸν ἐν ἀοιδᾷ νέων
due and to-Arcesilas him in song of-young-men
πρέπει χρυσάορα Φοῖβον ἀπύειν,
it-befits golden-sworded Phoebus to-call

ἔχοντα Πυθωνόθεν
having from-Pytho
τὸ καλλίνικον λυτήριον δαπανᾶν
the victorious recompense of-expenses
μέλος χαρίεν. ἄνδρα κεῖνον ἐπαινέοντι συνετοί.
song graceful man that praise the-wise
λεγόμενον ἐρέω·
what-is-said I-will-say

κρέσσονα μὲν ἁλικίας
greater indeed than-his-age
νόον φέρβεται
mind he-feeds
γλῶσσάν τε· θάρσος δὲ τανύπτερος
tongue and in-boldness and long-winged
ἐν ὄρνιξιν αἰετὸς ἔπλετο·
among birds eagle he-is
ἀγωνίας δ', ἕρκος οἷον, σθένος·
of-contest and fence such-as strength
ἔν τε Μοίσαισι ποτανὸς ἀπὸ ματρὸς φίλας,
among and Muses winged from mother dear
πέφανταί θ' ἁρματηλάτας σοφός·
he-has-shown-himself and charioteer skilled

ὅσαι τ' εἰσὶν ἐπιχωρίων καλῶν ἔσοδοι,
as-many-as and are of-local noble-things entrances
τετόλμακε. θεός τέ οἱ τὸ νῦν τε πρόφρων τελεῖ δύνασιν,
he-has-dared god and to-him the now both gladly fulfills power
καὶ τὸ λοιπὸν ὁμοῖα, Κρονίδαι μάκαρες,
and the future like-things sons-of-Cronus blessed
διδοῖτ' ἐπ' ἔργοισιν ἀμφί τε βουλαῖς
may-you-grant in deeds about and counsels
ἔχειν, μὴ φθινοπωρὶς ἀνέμων
to-have lest autumnal of-winds
χειμερία κατὰ πνοὰ δαμαλίζοι χρόνον.
wintry down blast should-subdue time

Διός τοι νόος μέγας κυβερνᾷ
of-Zeus you-know mind great steers
δαίμον' ἀνδρῶν φίλων.
the-fortune of-men dear
εὔχομαί νιν Ὀλυμπίᾳ τοῦτο
I-pray him at-Olympia this
δόμεν γέρας ἔπι Βάττου γένει.
to-give prize upon of-Battus race

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩ ΑΡΜΑΤΙ

VI · FOR XENOCRATES OF ACRAGAS

The poet comes to Delphi, where a treasure-house of hymns stands for Xenocrates' chariot victory, proof against rain and wind. Thrasybulus, his son, keeps the precept Chiron gave Achilles: honor Zeus and one's parents. Antilochus kept it when he died to save his father Nestor from Memnon. Of men now, Thrasybulus comes nearest that standard toward his father and his uncle. He uses his wealth with sense, loves the Muses and horses, and is sweeter company than honeycomb.

Ἀκούσατ'· ἦ γὰρ ἑλικώπιδος Ἀφροδίτας
Hear truly for of-quick-glancing Aphrodite
ἄρουραν ἢ Χαρίτων
the-field or of-the-Graces
ἀναπολίζομεν, ὀμφαλὸν ἐριβρόμου
we-plow-again the-navel of-loud-roaring
χθονὸς ἐς νάϊον προσοιχόμενοι·
earth to the-temple approaching
Πυθιόνικος ἔνθ' ὀλβίοισιν Ἐμμενίδαις
Pythian-victorious where for-prosperous Emmenids
ποταμίᾳ τ' Ἀκράγαντι καὶ μὰν Ξενοκράτει
for-river-dwelling and Acragas and indeed for-Xenocrates
ἑτοῖμος ὕμνων
ready of-hymns
θησαυρὸς ἐν πολυχρύσῳ
treasure in much-golden
Ἀπολλωνίᾳ τετείχισται νάπᾳ·
Apollo's has-been-walled glen

τὸν οὔτε χειμέριος ὄμβρος ἐπακτὸς ἐλθών,
which neither wintry rain foreign coming
ἐριβρόμου νεφέλας
of-loud-roaring cloud
στρατὸς ἀμείλιχος, οὔτ' ἄνεμος ἐς μυχοὺς
host relentless nor wind into recesses
ἁλὸς ἄξοισι παμφόρῳ χεράδει
of-sea will-carry with-all-bearing silt
τυπτόμενον. φάει δὲ πρόσωπον ἐν καθαρῷ
battered light and its-front in pure
πατρὶ τεῷ, Θρασύβουλε, κοινάν τε γενεᾷ
for-father your Thrasybulus common and for-the-race
λόγοισι θνατῶν
in-words of-mortals
εὔδοξον ἅρματι νίκαν
glorious with-chariot victory
Κρισαίαισιν ἐν πτυχαῖς ἀπαγγελεῖ.
Crisaean in folds will-announce

σύ τοι σχεθών νιν ἐπιδέξια χειρός, ὀρθὰν
you you-know holding it on-the-right of-hand upright
ἄγεις ἐφημοσύναν,
keep the-precept
τά ποτ' ἐν οὔρεσι φαντὶ μεγαλοσθενεῖ
which once on mountains they-say to-the-mighty
Φιλύρας υἱὸν ὀρφανιζομένῳ
of-Philyra the-son bereaved
Πηλεΐδᾳ παραινεῖν· μάλιστα μὲν Κρονίδαν,
son-of-Peleus to-advise most indeed the-son-of-Cronus

βαρυόπαν στεροπᾶν κεραυνῶν τε πρύτανιν,
deep-voiced of-lightnings thunderbolts and lord
θεῶν σέβεσθαι·
of-gods to-revere
ταύτας δὲ μή ποτε τιμᾶς
of-this and not ever honor
ἀμείρειν γονέων βίον πεπρωμένον.
to-deprive of-parents life fated

ἔγεντο καὶ πρότερον Ἀντίλοχος βιατὰς
was also before Antilochus mighty
νόημα τοῦτο φέρων,
thought this holding
ὃς ὑπερέφθιτο πατρός, ἐναρίμβροτον
who died-for his-father man-slaying
ἀναμείναις στράταρχον Αἰθιόπων
awaiting leader of-the-Ethiopians
Μέμνονα. Νεστόρειον γὰρ ἵππος ἅρμ' ἐπέδα
Memnon Nestor's for a-horse chariot fettered
Πάριος ἐκ βελέων δαϊχθείς· ὁ δ' ἔφεπεν
by-Paris from shafts wounded he and brandished
κραταιὸν ἔγχος·
mighty spear
Μεσσανίου δὲ γέροντος
of-Messenian and old-man
δονηθεῖσα φρὴν βόασε παῖδα ὅν·
shaken heart shouted to-son his

χαμαιπετὲς δ᾽ ἄρ᾽ ἔπος οὐκ ἀπέριψεν· αὐτοῦ
earth-falling and then word not he-cast-away there
μένων δ᾽ ὁ θεῖος ἀνὴρ
staying and the godlike man
πρίατο μὲν θανάτοιο κομιδὰν πατρός,
bought indeed with-death the-rescue of-his-father
ἐδόκησέν τε τῶν πάλαι γενεᾷ
seemed and of-those of-old to-the-race
ὁπλοτέροισιν, ἔργον πελώριον τελέσαις,
to-younger deed monstrous having-accomplished
ὕπατος ἀμφὶ τοκεῦσιν ἔμμεν πρὸς ἀρετάν.
highest toward parents to-be in excellence
τὰ μὲν παρίκει·
these indeed are-past
τῶν νῦν δὲ καὶ Θρασύβουλος
of-those now and also Thrasybulus
πατρῴαν μάλιστα πρὸς στάθμαν ἔβα,
paternal most to measure came

πάτρῳ τ᾽ ἐπερχόμενος ἀγλαΐαν ἅπασαν.
to-his-uncle and approaching splendor all
νόῳ δὲ πλοῦτον ἄγει,
with-mind and wealth he-leads
ἄδικον οὔθ᾽ ὑπέροπλον ἥβαν δρέπων,
unjust nor overweening youth plucking
σοφίαν δ᾽ ἐν μυχοῖσι Πιερίδων·
wisdom and in recesses of-the-Pierides
τίν τ᾽, Ἐλέλιχθον, ἃς εὗρες ἱππίας ἐσόδους,
to-you and Earth-shaker which you-found equestrian approaches

μάλα ἁδόντι νόῳ, Ποσειδᾶν, προσέχεται.
very with-pleasing mind Poseidon he-cleaves
γλυκεῖα δὲ φρὴν
sweet and heart
καὶ συμπόταισιν ὁμιλεῖν
also with-drinking-companions to-consort
μελισσᾶν ἀμείβεται τρητὸν πόνον.
of-bees surpasses perforated toil

ΜΕΓΑΚΛΕΙ ΑΘΗΝΑΙΩ ΤΕΘΡΙΠΠΩ

VII · FOR MEGACLES OF ATHENS

Athens is the fairest prelude for a song for the Alcmaeonids, victors in the chariot race. Every city knows how they made Apollo's temple at Delphi a wonder. The poet lists their victories, rejoices in Megacles' success, and regrets that envy answers noble deeds; yet, they say, lasting prosperity brings both good and bad.

Κάλλιστον αἱ μεγαλοπόλιες Ἀθâναι

Fairest the great-citied Athens

προοίμιον Ἀλκμανιδâν εὐρυσθενεῖ γενεᾷ

prelude of-the-Alcmaeonids wide-mighty for-the-race

κρηπῖδ' ἀοιδâν

foundation of-songs

ἵπποισι βαλέσθαι.

for-horses to-lay

ἐπεὶ τίνα πάτραν, τίνα οἶκον

since what fatherland what house

ναίων ὀνυμάξεαι

dwelling-in will-you-name

ἐπιφανέστερον

more-illustrious

Ἑλλάδι πυθέσθαι;

for-Greece to-learn-of

πάσαισι γὰρ πολίεσι λόγος ὁμιλεῖ
in-all for cities the-story is-current
Ἐρεχθέος ἀστῶν, Ἄπολλον, οἳ τεόν γε δόμον
of-Erechtheus of-the-citizens Apollo who your indeed house
Πυθῶνι δίᾳ
at-Pytho divine
θαητὸν ἔτευξαν.
wondrous made
ἄγοντι δέ με πέντε μὲν Ἰσθμοῖ
lead and me five indeed at-Isthmus
νῖκαι, μία δ' ἐκπρεπὴς
victories one and outstanding
Διὸς Ὀλυμπιάς,
of-Zeus Olympiad
δύο δ' ἀπὸ Κίρρας,
two and from Cirrha

ὦ Μεγάκλεες, ὑμαί τε καὶ προγόνων.
O Megacles yours both and of-ancestors
νέᾳ δ' εὐπραγίᾳ χαίρω τι· τὸ δ' ἄχνυμαι,
in-new and success I-rejoice somewhat this but I-grieve
φθόνον ἀμειβόμενον τὰ καλὰ ἔργα.
envy requiting the noble deeds
φαντί γε μὰν οὕτω κεν ἀνδρὶ παρμονίμαν
they-say indeed truly thus — for-a-man abiding
θάλλοισαν εὐδαιμονίαν
flourishing happiness
τὰ καὶ τὰ φέρεσθαι.
this and that to-bring

ΑΡΙΣΤΟΜΕΝΕΙ ΑΙΓΙΝΗΤΗ̨ ΠΑΛΑΙΣΤΗ̨

VIII · FOR ARISTOMENES OF AEGINA

The poet invokes Peace, daughter of Justice, who brings down insolence, as Typhon and Porphyrion were subdued. He praises Aegina and Aristomenes, a wrestler who follows his uncles. At Thebes Amphiaraus saw his son Alcmaeon lead the Epigoni and foretold Adrastus' grief. The poet honors Alcmaeon and thanks Apollo. Aristomenes' four beaten rivals slink home in shame. Man is a dream of a shadow, unless god gives him radiance. The poet asks Aegina to guard the city with Zeus and the Aeacidae.

Φιλόφρον Ἡσυχία, Δίκας
Kindly Peace of-Justice
ὦ μεγιστόπολι θύγατερ,
O city-magnifying daughter
βουλᾶν τε καὶ πολέμων
of-counsels both and of-wars
ἔχοισα κλαῖδας ὑπερτάτας,
holding keys highest
Πυθιόνικον τιμὰν Ἀριστομένει δέκευ. 5
Pythian-victorious honor for-Aristomenes receive
τὺ γὰρ τὸ μαλθακὸν ἔρξαι τε καὶ παθεῖν ὁμῶς
you for the gentle to-do both and to-suffer alike
ἐπίστασαι καιρῷ σὺν ἀτρεκεῖ·
know moment with exact

τὺ δ', ὁπόταν τις ἀμείλιχον
you and when anyone relentless
καρδίᾳ κότον ἐνελάσῃ,
in-heart wrath drives-in

τραχεῖα δυσμενέων
harsh of-enemies
ὑπαντιάξαισα κράτει τιθεῖς
meeting the-might you-put
Ὕβριν ἐν ἄντλῳ. τὰν οὐδὲ Πορφυρίων μάθεν
Insolence in bilge whom not-even Porphyrion knew
παρ᾽ αἶσαν ἐξερεθίζων· κέρδος δὲ φίλτατον,
beyond due provoking gain and dearest
ἑκόντος εἴ τις ἐκ δόμων φέροι.
of-one-willing if anyone from house should-bring

βία δὲ καὶ μεγάλαυχον ἔσφαλεν ἐν χρόνῳ.
violence and even the-boastful trips in time
Τυφὼς Κίλιξ ἑκατόγκρανος οὔ νιν ἄλυξεν,
Typhon Cilician hundred-headed not it escaped
οὐδὲ μὰν βασιλεὺς Γιγάντων· δμᾶθεν δὲ κεραυνῷ
nor indeed the-king of-the-Giants they-were-subdued and by-thunderbolt
τόξοισί τ᾽ Ἀπόλλωνος· ὃς εὐμενεῖ νόῳ
by-bows and of-Apollo who with-kindly mind
Ξενάρκειον ἔδεκτο Κίρραθεν ἐστεφανωμένον
Xenarces' received from-Cirrha crowned
υἱὸν ποίᾳ Παρνασσίδι Δωριεῖ τε κώμῳ.
son with-grass Parnassian Dorian and with-revel

ἔπεσε δ' οὐ Χαρίτων ἑκὰς
fell and not the-Graces far
ἁ δικαιόπολις ἀρεταῖς
the just-citied by-excellences
κλεινaῖσιν Αἰακιδᾶν
glorious of-the-Aeacidae
θιγοῖσα νᾶσος· τελέαν δ' ἔχει
touched island perfect and it-has
δόξαν ἀπ' ἀρχᾶς. πολλοῖσι μὲν γὰρ ἀείδεται
fame from beginning by-many indeed for it-is-sung
νικαφόροις ἐν ἀέθλοις θρέψαισα καὶ θοαῖς
victorious in contests having-reared and swift
ὑπερτάτους ἥρωας ἐν μάχαις·
highest heroes in battles

τὰ δὲ καὶ ἀνδράσιν ἐμπρέπει.
these and also in-men she-is-conspicuous
εἰμὶ δ' ἄσχολος ἀναθέμεν
I-am and without-leisure to-dedicate
πᾶσαν μακραγορίαν
all long-tale
λύρᾳ τε καὶ φθέγματι μαλθακῷ,
to-lyre both and to-voice soft
μὴ κόρος ἐλθὼν κνίσῃ. τὸ δ' ἐν ποσί μοι τράχον
lest surfeit coming should-vex the and at feet for-me running
ἴτω τεὸν χρέος, ὦ παῖ, νεώτατον καλῶν,
let-it-go your due O boy newest of-noble-things
ἐμᾷ ποτανὸν ἀμφὶ μαχανᾷ.
my winged on art

παλαισμάτεσσι γὰρ ἰχνεύων ματραδελφεοὺς
in-wrestlings for following-in-the-steps-of your-maternal-uncles
Ὀλυμπίᾳ τε Θεόγνητον οὐ κατελέγχεις,
at-Olympia and Theognetus not you-shame
οὐδὲ Κλειτομάχοιο νίκαν Ἰσθμοῖ θρασύγυιον·
nor of-Cleitomachus victory at-Isthmus bold-limbed
αὔξων δὲ πάτραν Μιδυλιδᾶν λόγον φέρεις,
exalting and the-clan of-the-Midylidae the-word you-bear
τὸν ὅνπερ ποτ' Ὀϊκλέος παῖς ἐν ἑπταπύλοις ἰδὼν
the which once of-Oecles the-son at seven-gated seeing
υἱοὺς Θήβαις αἰνίξατο παρμένοντας αἰχμᾷ,
the-sons Thebes uttered-in-riddles standing-firm with-spear

ὁπότ' ἀπ' Ἄργεος ἦλυθον
when from Argos they-came
δευτέραν ὁδὸν Ἐπίγονοι.
second way the-Epigoni
ὣδ' εἶπε μαρναμένων·
thus he-spoke of-them-fighting
"Φυᾷ τὸ γενναῖον ἐπιπρέπει
By-nature the noble is-conspicuous
ἐκ πατέρων παισὶ λῆμα. θαέομαι σαφὲς
from fathers in-sons spirit I-behold clearly
δράκοντα ποικίλον αἰθᾶς Ἀλκμᾶν' ἐπ' ἀσπίδος
serpent dappled gleaming Alcmaeon on shield
νωμῶντα πρῶτον ἐν Κάδμου πύλαις.
wielding first at of-Cadmus gates

ὁ δὲ καμὼν προτέρᾳ πάθᾳ
he and having-suffered in-former disaster
νῦν ἀρείονος ἐνέχεται
now of-better is-held
ὄρνιχος ἀγγελίᾳ
bird by-message
Ἄδραστος ἥρως· τὸ δὲ οἴκοθεν
Adrastus hero the and at-home
ἀντία πράξει. μοῦνος γὰρ ἐκ Δαναῶν στρατοῦ
contrary he-will-fare alone for from of-the-Danaans army
θανόντος ὀστέα λέξαις υἱοῦ, τύχᾳ θεῶν
dead the-bones having-gathered of-his-son by-fortune of-the-gods
ἀφίξεται λαῷ σὺν ἀβλαβεῖ
he-will-come people with unharmed

Ἄβαντος εὐρυχόρους ἀγυιάς." τοιαῦτα μὲν
of-Abas wide streets such-things indeed
ἐφθέγξατ' Ἀμφιάρηος. χαίρων δὲ καὶ αὐτὸς
uttered Amphiaraus rejoicing and also myself
Ἀλκμᾶνα στεφάνοισι βάλλω, ῥαίνω δὲ καὶ ὕμνῳ,
Alcmaeon with-wreaths I-pelt I-sprinkle and also with-hymn
γείτων ὅτι μοι καὶ κτεάνων φύλαξ ἐμῶν
neighbor because to-me and of-possessions guardian of-my
ὑπάντασεν ἰόντι γᾶς ὀμφαλὸν παρ' ἀοίδιμον,
he-met me-going earth's navel by famed-in-song
μαντευμάτων τ' ἐφάψατο συγγόνοισι τέχναις.
prophecies and he-laid-hold-of with-inborn arts

τὺ δ', Ἑκαταβόλε, πάνδοκον
you and Far-Darter all-receiving
ναὸν εὐκλέα διανέμων
temple glorious governing
Πυθῶνος ἐν γυάλοις,
of-Pytho in hollows
τὸ μὲν μέγιστον τόθι χαρμάτων
the indeed greatest there of-joys
ὤπασας· οἴκοι δὲ πρόσθεν ἁρπαλέαν δόσιν
you-granted at-home and before eagerly-seized gift
πενταθλίου σὺν ἑορταῖς ὑμαῖς ἐπάγαγες.
of-the-pentathlon with festivals your you-brought
ἄναξ, ἑκόντι δ' εὔχομαι νόῳ
lord with-willing and I-pray mind

κατά τιν' ἁρμονίαν βλέπειν,
according-to some harmony to-look
ἀμφ' ἕκαστον ὅσα νέομαι.
about each what-things I-go-to
κώμῳ μὲν ἁδυμελεῖ
for-revel indeed sweet-melodied
Δίκα παρέστακε· θεῶν δ' ὄπιν
Justice has-stood-by of-gods and regard
ἄφθονον αἰτέω, Ξείναρκες, ὑμετέραις τύχαις.
ungrudging I-ask Xenarces for-your fortunes
εἰ γάρ τις ἐσλὰ πέπαται μὴ σὺν μακρῷ πόνῳ,
if for anyone good-things has-gained not with long toil
πολλοῖς σοφὸς δοκεῖ πεδ' ἀφρόνων
to-many wise he-seems among fools

βίον κορυσσέμεν ὀρθοβούλοισι μαχαναῖς·
life to-arm with-right-counseling devices
τὰ δ' οὐκ ἐπ' ἀνδράσι κεῖται· δαίμων δὲ παρίσχει,
these and not upon men lie god and grants
ἄλλοτ' ἄλλον ὕπερθε βάλλων, ἄλλον δ' ὑπὸ χειρῶν
at-other-times another above casting another and under hands
μέτρῳ καταβαίνει. Μεγάροις δ' ἔχεις γέρας,
with-measure goes-down at-Megara and you-have the-prize
μυχῷ τ' ἐν Μαραθῶνος, Ἥρας τ' ἀγῶν' ἐπιχώριον
the-vale and in of-Marathon of-Hera and contest local
νίκαις τρισσαῖς, ὦριστόμενες, δάμασσας ἔργῳ·
with-victories three O-Aristomenes you-subdued in-deed

τέτρασι δ' ἔμπετες ὑψόθεν
on-four and you-fell from-above
σωμάτεσσι κακὰ φρονέων,
bodies evil intending
τοῖς οὔτε νόστος ὁμῶς
for-whom neither return alike
ἔπαλπνος ἐν Πυθιάδι κρίθη,
pleasant at Pythian-games was-decided
οὐδὲ μολόντων πὰρ ματέρ' ἀμφὶ γέλως γλυκὺς
nor of-them-coming to mother around laughter sweet
ὦρσεν χάριν· κατὰ λαύρας δ' ἐχθρῶν ἀπάοροι
roused joy along alleys and of-enemies apart
πτώσσοντι, συμφορᾷ δεδαγμένοι.
they-cower by-misfortune bitten

ὁ δὲ καλόν τι νέον λαχὼν
he and fair some new having-won
ἀβρότατος ἔπι μεγάλας
luxury upon great
ἐξ ἐλπίδος πέταται
from hope flies
ὑποπτέροις ἀνορέαις, ἔχων
on-winged manly-deeds having
κρέσσονα πλούτου μέριμναν. ἐν δ' ὀλίγῳ βροτῶν
higher than-wealth ambition in and short-time of-mortals
τὸ τερπνὸν αὔξεται· οὕτω δὲ καὶ πίτνει χαμαί,
the delight grows so and also it-falls to-the-ground
ἀποτρόπῳ γνώμᾳ σεσεισμένον.
by-adverse purpose shaken

ἐπάμεροι· τί δέ τις; τί δ' οὔ τις; σκιᾶς ὄναρ
creatures-of-a-day what and someone what and not anyone of-a-shadow a-dream
ἄνθρωπος. ἀλλ' ὅταν αἴγλα διόσδοτος ἔλθῃ,
man but when radiance Zeus-given comes
λαμπρὸν φέγγος ἔπεστιν ἀνδρῶν καὶ μείλιχος αἰών·
bright light is-upon men and gentle life
Αἴγινα φίλα μᾶτερ, ἐλευθέρῳ στόλῳ
Aegina dear mother on-free voyage
πόλιν τάνδε κόμιζε Διὶ καὶ κρέοντι σὺν Αἰακῷ
city this guard Zeus and ruling with Aeacus
Πηλεῖ τε καὶ γαθῷ Τελαμῶνι σύν τ' Ἀχιλλεῖ.
Peleus and and-good Telamon with and Achilles

ΤΕΛΕΣΙΚΡΑΤΕΙ ΚΥΡΗΝΑΙΩ ΟΠΛΙΤΟΔΡΟΜΩ

IX · FOR TELESICRATES OF CYRENE

The poet proclaims Telesicrates, victor in the race in armor. Apollo carried the huntress Cyrene from Pelion to Libya. He had seen her wrestling a lion and asked Chiron about her, and Chiron foretold that she would rule in Libya and bear Aristaeus. The poet praises Iolaus, Heracles, and Telesicrates' victories at Aegina, Megara, and home. His ancestor Alexidamus won a Libyan bride in a footrace, as Danaus once married off his daughters.

Ἐθέλω χαλκάσπιδα Πυθιονίκαν
I-wish bronze-shielded Pythian-victor
σὺν βαθυζώνοισιν ἀγγέλλων
with deep-girdled announcing
Τελεσικράτη Χαρίτεσσι γεγωνεῖν,
Telesicrates the-Graces to-proclaim
ὄλβιον ἄνδρα, διωξίππου στεφάνωμα Κυράνας·
blessed man of-horse-driving the-crown of-Cyrene
τὰν ὁ χαιτάεις ἀνεμοσφαράγων
whom — long-haired wind-echoing
ἐκ Παλίου κόλπων ποτὲ Λατοΐδας
from of-Pelion vales once Leto's-son
ἅρπασ', ἔνεικέ τε χρυσέῳ παρθένον ἀγροτέραν
snatched carried and in-golden the-maiden huntress
δίφρῳ, τόθι νιν πολυμήλου
car where her of-many-flocks
καὶ πολυκαρποτάτας θῆκε δέσποιναν χθονὸς
and most-fruitful made mistress of-land
ῥίζαν ἀπείρου τρίταν εὐήρατον θάλλοισαν οἰκεῖν.
root of-the-mainland third lovely flourishing to-inhabit

ὑπέδεκτο δ' ἀργυρόπεζ' Ἀφροδίτα
received and silver-footed Aphrodite
Δάλιον ξεῖνον θεοδμάτων
the-Delian guest from-god-built
ὀχέων, ἐφαπτομένα χερὶ κούφᾳ.
chariot touching with-hand light
καί σφιν ἐπὶ γλυκεραῖς εὐναῖς ἐρατὰν βάλεν αἰδῶ,
and to-them on sweet beds lovely cast modesty
ξυνὸν ἁρμόζοισα θεῷ τε γάμον μιχθέντα
common joining for-the-god both marriage mingled
κούρᾳ θ' Ὑψέος εὐρυβία·
for-the-daughter and of-Hypseus wide-ruling
ὃς Λαπιθᾶν ὑπερόπλων τοτάκις ἦν
who of-the-Lapiths overweening then was
βασιλεύς, ἐξ Ὠκεανοῦ γένος ἥρως
king from Ocean by-race hero
δεύτερος· ὅν ποτε Πίνδου κλεεννᾶις ἐν πτυχᾶις
second whom once of-Pindus famous in folds
Ναΐς εὐφρανθεῖσα Πηνειοῦ λέχει Κρείοισ' ἔτικτεν,
a-Naiad rejoicing of-Peneus in-the-bed Creusa bore

Γαίας θυγάτηρ. ὁ δὲ τὰν εὐώλενον
of-Earth daughter he and the fair-armed
θρέψατο παῖδα Κυράναν· ἁ μὲν οὔθ'
reared child Cyrene she indeed neither
ἱστῶν παλιμβάμους ἐφίλησεν ὁδούς,
of-looms back-and-forth loved paths
οὔτε δείπνων οἰκοριᾶν μεθ' ἑταιρᾶν τέρψιας,
nor of-feasts stay-at-home with companions delights

ἀλλ᾽ ἀκόντεσσίν τε χαλκέοις
but with-javelins and bronze
φασγάνῳ τε μαρναμένα κεράϊζεν ἀγρίους
with-sword and fighting she-slew wild
θῆρας, ἦ πολλάν τε καὶ ἡσύχιον
beasts truly much both and quiet
βουσὶν εἰρήναν παρέχοισα πατρῴαις, τὸν δὲ σύγκοιτον γλυκὺν
for-cattle peace providing paternal the and bedfellow sweet
παῦρον ἐπὶ γλεφάροις
little upon eyelids
ὕπνον ἀναλίσκοισα ῥέποντα πρὸς ἀῶ.
sleep spending sinking toward dawn

κίχε νιν λέοντί ποτ᾽ εὐρυφαρέτρας
came-upon her with-a-lion once the-wide-quivered
ὀμβρίμῳ μούναν παλαίοισαν
mighty alone wrestling
ἄτερ ἐγχέων ἑκάεργος Ἀπόλλων.
without spears far-working Apollo
αὐτίκα δ᾽ ἐκ μεγάρων Χείρωνα προσέννεπε φωνᾷ.
at-once and from halls Chiron he-addressed with-voice

"Σεμνὸν ἄντρον, Φιλλυρίδα, προλιπὼν θυμὸν
Holy cave son-of-Philyra leaving the-spirit
γυναικὸς καὶ μεγάλαν δύνασιν
of-a-woman and great power
θαύμασον, οἷον ἀταρβεῖ νεῖκος ἄγει
marvel-at what with-fearless contest she-wages
κεφαλᾷ, μόχθου καθύπερθε νεᾶνις
head of-toil above a-young-girl
ἦτορ ἔχοισα· φόβῳ δ' οὐ κεχείμανται φρένες.
heart having by-fear and not are-storm-tossed her-wits
τίς νιν ἀνθρώπων τέκεν; ποίας δ' ἀποσπασθεῖσα φύτλας
who her of-men bore of-what and torn-from stock

ὀρέων κευθμῶνας ἔχει σκιοέντων,
of-mountains recesses holds shadowy
γεύεται δ' ἀλκᾶς ἀπειράντου;
tastes and valor unbounded
ὁσία κλυτὰν χέρα οἱ προσενεγκεῖν,
lawful glorious hand on-her to-lay
ἦ ῥα; καὶ ἐκ λεχέων κεῖραι μελιηδέα ποίαν;"
truly then and from beds to-cull honey-sweet grass
τὸν δὲ Κένταυρος ζαμενής, ἀγανᾷ
him and the-Centaur mighty with-gentle
χλαρὸν γελάσσαις ὀφρύϊ, μῆτιν ἑᾶν
softly laughing brow counsel his
εὐθὺς ἀμείβετο· "Κρυπταὶ κλαῖδες ἐντὶ
at-once answered Secret keys are
σοφᾶς Πειθοῦς ἱερᾶν φιλοτάτων,
of-wise Persuasion of-holy loves

Φοῖβε, καὶ ἔν τε θεοῖς τοῦτο κἀνθρώποις ὁμῶς
Phoebus and among both gods this and-men alike
αἰδέοντ', ἀμφανδὸν ἁδείας τυχεῖν τὸ πρῶτον εὐνᾶς.
are-ashamed openly sweet to-win the first bed

καὶ γὰρ σέ, τὸν οὐ θεμιτὸν ψεύδει θιγεῖν,
and for you whom not lawful falsehood to-touch
ἔτραπε μείλιχος ὀργὰ παρφάμεν τοῦτον λόγον.
turned gentle mood to-speak-aside this word
κούρας δ' ὁπόθεν γενεὰν
of-the-maiden and whence the-race
ἐξερωτᾷς, ὦ ἄνα; κύριον ὃς πάντων τέλος
you-ask O lord sovereign who of-all the-end
οἶσθα καὶ πάσας κελεύθους·
know and all paths
ὅσσα τε χθὼν ἠρινὰ φύλλ' ἀναπέμπει, χὠπόσαι
as-many-as and earth spring leaves sends-up and-how-many
ἐν θαλάσσᾳ καὶ ποταμοῖς ψάμαθοι
in sea and rivers sands
κύμασιν ῥιπαῖς τ' ἀνέμων κλονέονται, χὤ τι μέλλει, χὠπόθεν
by-waves rushes and of-winds are-driven and-what — is-to-be and-whence
ἔσσεται, εὖ καθορᾷς.
will-be well you-behold
εἰ δὲ χρὴ καὶ πὰρ σοφὸν ἀντιφερίξαι,
if and it-is-needful also against a-wise-one to-match

ἐρέω. ταύτᾳ πόσις ἵκεο βᾶσσαν
I-will-speak for-her husband you-came glen
τάνδε, καὶ μέλλεις ὑπὲρ πόντου
this and you-are-to over sea
Διὸς ἔξοχον ποτὶ κᾶπον ἐνεῖκαι·
of-Zeus choice to garden to-carry
ἔνθα νιν ἀρχέπολιν θήσεις, ἐπὶ λαὸν ἀγείραις
where her city-founder you-will-make upon a-people gathering
νασιώταν ὄχθον ἐς ἀμφίπεδον· νῦν δ'
island-dwelling hill to encircled-by-plain now and
εὐρυλείμων πότνιά σοι Λιβύα
broad-meadowed queenly for-you Libya
δέξεται εὐκλέα νύμφαν δώμασιν ἐν χρυσέοις
will-receive glorious bride halls in golden
πρόφρων· ἵνα οἱ χθονὸς αἶσαν
gladly where to-her of-land a-share
αὐτίκα συντελέθειν ἔννομον δωρήσεται,
at-once to-belong lawful she-will-give
οὔτε παγκάρπων φυτῶν νήποινον, οὔτ' ἀγνῶτα θηρῶν.
neither of-all-fruit plants unendowed nor unacquainted with-beasts

τόθι παῖδα τέξεται, ὃν κλυτὸς Ἑρμᾶς
there a-son she-will-bear whom glorious Hermes
εὐθρόνοις Ὥραισι καὶ Γαίᾳ
to-fair-throned Seasons and to-Earth
ἀνελὼν φίλας ὑπὸ ματέρος οἴσει.
taking-up dear from mother will-bring
ταὶ δ' ἐπιγουνίδιον κατθηκάμεναι βρέφος αὐταῖς,
they and on-their-knees having-set the-babe to-themselves

νέκταρ ἐν χείλεσσι καὶ ἀμβροσίαν στάξοισι,
nectar on lips and ambrosia will-drip
θήσονταί τέ νιν ἀθάνατον
will-make and him immortal
Ζῆνα καὶ ἁγνὸν Ἀπόλλων', ἀνδράσι χάρμα
Zeus and holy Apollo for-men a-joy
φίλοις ἄγχιστον, ὀπάονα μήλων,
dear nearest attendant of-flocks
Ἀγρέα καὶ Νόμιον, τοῖς δ' Ἀρισταῖον καλεῖν." 65
Hunter and Shepherd to-others and Aristaeus to-call
ὣς ἄρ' εἰπὼν ἔντυεν τερπνὰν γάμου κραίνειν τελευτάν.
so then speaking he-urged delightful of-marriage to-fulfill the-end

ὠκεῖα δ' ἐπειγομένων ἤδη θεῶν
swift and of-hastening already gods
πρᾶξις ὁδοί τε βραχεῖαι. κεῖνο κεῖν'
action roads and short that that
ἅμαρ διαίτασεν· θαλάμῳ δὲ μίγεν
day decided chamber and they-lay
ἐν πολυχρύσῳ Λιβύας· ἵνα καλλίσταν πόλιν
in much-golden of-Libya where fairest city
ἀμφέπει κλεινάν τ' ἀέθλοις. 70
she-holds famous and in-games
καί νυν ἐν Πυθῶνί νιν ἀγαθέᾳ Καρνειάδα
and now in Pytho him holy of-Carneadas
υἱὸς εὐθαλεῖ συνέμιξε τύχᾳ·
the-son with-flourishing has-joined fortune
ἔνθα νικάσαις ἀνέφανε Κυράναν, ἅ νιν εὔφρων δέξεται,
where winning he-proclaimed Cyrene which him kindly will-receive

καλλιγύναικι πάτρᾳ
to-fair-womened fatherland
δόξαν ἱμερτὰν ἀγαγόντ᾽ ἀπὸ Δελφῶν.
fame lovely having-brought from Delphi

ἀρεταὶ δ᾽ αἰεὶ μεγάλαι πολύμυθοι·
excellences and always great much-told
βαιὰ δ᾽ ἐν μακροῖσι ποικίλλειν,
little and among long-things to-embroider
ἀκοὰ σοφοῖς· ὁ δὲ καιρὸς ὁμοίως
a-hearing for-the-wise the and right-moment alike
παντὸς ἔχει κορυφάν. ἔγνον ποτὲ καὶ Ἰόλαον
of-everything has the-crown knew once also Iolaus
οὐκ ἀτιμάσαντά νιν ἑπτάπυλοι Θῆβαι·
not having-dishonored it seven-gated Thebes
τόν, Εὐρυσθῆος ἐπεὶ κεφαλὰν
whom of-Eurystheus when the-head
ἔπραθε φασγάνου ἀκμᾷ, κρύψαν ἔνερθ᾽
he-destroyed of-sword with-the-edge they-buried beneath
ὑπὸ γᾶν διφρηλάτα Ἀμφιτρύωνος
under earth of-the-charioteer Amphitryon
σάματι, πατροπάτωρ ἔνθα οἱ Σπαρτῶν ξένος
in-the-tomb grandfather where his of-the-Sown-men guest
κεῖτο, λευκίπποισι Καδμείων μετοικήσαις ἀγυιαῖς.
lay in-white-horsed of-the-Cadmeians having-settled streets

τέκε οἱ καὶ Ζηνὶ μιγεῖσα δαΐφρων
bore to-him and to-Zeus having-lain wise
ἐν μόναις ὠδῖσιν Ἀλκμήνα
in single travail Alcmena
διδύμων κρατησίμαχον σθένος υἱῶν.
of-twins battle-winning strength sons
κωφὸς ἀνήρ τις, ὃς Ἡρακλεῖ στόμα μὴ παραβάλλει,
dumb man some who for-Heracles mouth not lends
μηδὲ Διρκαίων ὑδάτων ἀὲ μέμναται,
nor of-Dirce's waters always remembers
τά νιν θρέψαντο καὶ Ἰφικλέα·
which him reared and Iphicles
τοῖσι τέλειον ἐπ' εὐχᾷ κωμάσομαί τι
to-them perfect upon prayer I-will-revel something
παθὼν ἐσλόν· Χαρίτων κελαδεννᾶν
having-had good of-the-Graces resounding
μή με λίποι καθαρὸν φέγγος. Αἰγίνᾳ τε γὰρ
not me may-leave pure light at-Aegina and for
φαμὶ Νίσου τ' ἐν λόφῳ τρὶς δὴ πόλιν τάνδ' εὐκλεΐξαι,
I-say of-Nisus and on hill thrice indeed city this to-have-glorified

σιγαλὸν ἀμαχανίαν ἔργῳ φυγών·
silent helplessness by-deed escaping
οὕνεκεν, εἰ φίλος ἀστῶν, εἴ τις ἀντάεις,
therefore if friend of-citizens if anyone opposed
τό γ' ἐν ξυνῷ πεπoναμένον εὖ
the indeed in common toiled well
μὴ λόγον βλάπτων ἁλίοιο γέροντος κρυπτέτω.
not word harming of-the-sea old-man let-him-hide

κεῖνος αἰνεῖν καὶ τὸν ἐχθρὸν
he to-praise even the enemy
παντὶ θυμῷ σύν γε δίκᾳ καλὰ ῥέζοντ᾽ ἔννεπεν.
with-all heart with indeed justice noble-things doing he-said
πλεῖστα νικάσαντά σε καὶ τελεταῖς
most having-won you also rites
ὡρίαις ἐν Παλλάδος εἶδον ἄφωνοί θ᾽ ὡς ἕκασται φίλτατον
seasonal in of-Pallas they-saw voiceless and how each dearest
παρθενικαὶ πόσιν ἢ
maidens husband or
υἱὸν εὔχοντ᾽, ὦ Τελεσίκρατες, ἔμμεν,
son prayed O Telesicrates to-be

ἐν Ὀλυμπίοισί τε καὶ βαθυκόλπου
in Olympian both and of-deep-bosomed
Γᾶς ἀέθλοις ἔν τε καὶ πᾶσιν
Earth games in and also all
ἐπιχωρίοις. ἐμὲ δ᾽ ὧν τις ἀοιδᾶν
local me and then some of-songs
δίψαν ἀκειόμενον πράσσει χρέος αὖτις ἐγεῖραι
thirst healing exacts debt again to-rouse
καὶ παλαιὰν δόξαν ἑῶν προγόνων·
also ancient glory of-his ancestors
οἷοι Λιβύσσας ἀμφὶ γυναικὸς ἔβαν
such-as a-Libyan for woman went
Ἴρασα πρὸς πόλιν, Ἀνταίου μετὰ καλλίκομον
of-Irasa to city of-Antaeus after the-lovely-haired
μναστῆρες ἀγακλέα κούραν·
suitors very-famous daughter

τὰν μάλα πολλοὶ ἀριστῆες ἀνδρῶν αἴτεον
whom very many chieftains of-men sought
σύγγονοι, πολλοὶ δὲ καὶ ξείνων. ἐπεὶ θαητὸν εἶδος
kinsmen many and also of-strangers since wondrous form

ἔπλετο· χρυσοστεφάνου δέ οἱ Ἥβας
was of-golden-crowned and her Youth
καρπὸν ἀνθήσαντ' ἀποδρέψαι
the-fruit having-blossomed to-pluck
ἔθελον. πατὴρ δὲ θυγατρὶ φυτεύων
they-wished the-father and for-his-daughter planting
κλεινότερον γάμον, ἄκουσεν Δαναόν ποτ' ἐν Ἄργει
more-glorious marriage heard Danaus once in Argos
οἷον εὗρεν τεσσαράκοντα καὶ ὀκτὼ παρθένοισι,
how he-found for-forty and eight maidens
πρὶν μέσον ἦμαρ ἑλεῖν,
before mid day to-take
ὠκύτατον γάμον. ἔστασεν γὰρ ἅπαντα χορὸν
swiftest marriage he-set for whole chorus
ἐν τέρμασιν αὐτίκ' ἀγῶνος·
at the-goal at-once of-the-course
σὺν δ' ἀέθλοις ἐκέλευσεν διακρῖναι ποδῶν,
with and contests he-bade to-decide of-feet
ἄντινα σχήσοι τις ἡρώων, ὅσοι γαμβροί σφιν ἦλθον.
whom should-have each of-the-heroes as-many-as bridegrooms to-them came

οὕτω δ' ἐδίδου Λίβυς ἁρμόζων κόρᾳ
so and gave the-Libyan joining for-the-daughter
νυμφίον ἄνδρα· ποτὶ γραμμᾷ μὲν αὐτὰν
bridegroom man at line indeed her
στᾶσε κοσμήσαις τέλος ἔμμεν ἄκρον,
he-stood adorning end to-be highest
εἶπε δ' ἐν μέσσοις ἀπάγεσθαι, ὃς ἂν πρῶτος θορὼν
told and in midst to-lead-off who — first leaping
ἀμφί οἱ ψαύσειε πέπλοις.
round her should-touch robes
ἔνθ' Ἀλεξίδαμος, ἐπεὶ φύγε λαιψηρὸν δρόμον,
there Alexidamus when he-fled-through swift course
παρθένον κεδνὰν χερὶ χειρὸς ἑλὼν
maiden trusty with-hand by-hand taking
ἆγεν ἱππευτᾶν Νομάδων δι' ὅμιλον. πολλὰ μὲν κεῖνοι δίκον
led of-horse-riding Nomads through throng many indeed they threw
φύλλ' ἔπι καὶ στεφάνους·
leaves upon and crowns
πολλὰ δὲ πρόσθεν πτερὰ δέξατο νικᾶν.
many and before feathers he-received of-victories

ΙΠΠΟΚΛΕΙ ΘΕΣΣΑΛΩ ΠΑΙΔΙ ΔΙΑΥΛΟΔΡΟΜΩ

X · FOR HIPPOCLEAS OF THESSALY

Lacedaemon and Thessaly are ruled by Heracles' descendants. The poet praises Hippocleas, a boy runner in the double course, and his father, a double Olympic victor. No mortal can climb the bronze sky or find the road to the Hyperboreans, who live without disease, old age, or toil. Perseus, led by Athena, feasted among them, killed the Gorgon, and brought stony death to the islanders. The poet thanks Thorax, who yoked the song's chariot, and praises his brothers, who govern Thessaly well.

ὍΟλβια Λακεδαίμων,

Blessed Lacedaemon

μάκαιρα Θεσσαλία· πατρὸς δ' ἀμφοτέραις ἐξ ἑνὸς

happy Thessaly father and over-both from one

ἀριστομάχου γένος Ἡρακλεῦς βασιλεύει.

of-best-in-battle the-race Heracles rules

τί κομπέω παρὰ καιρόν; ἀλλά με

why do-I-boast beyond due-measure but me

Πυθώ τε καὶ τὸ Πελινναῖον ἀπύει

Pytho both and the Pelinnaean call

Ἀλεύα τε παῖδες, Ἱπποκλέᾳ ἐθέλοντες 5

of-Aleuas and the-sons for-Hippocleas wishing

ἀγαγεῖν ἐπικωμίαν ἀνδρῶν κλυτὰν ὄπα.

to-bring of-revel of-men glorious voice

γεύεται γὰρ ἀέθλων·
he-tastes for of-contests
στρατῷ τ᾽ ἀμφικτιόνων ὁ Παρνάσιος αὐτὸν μυχὸς
to-the-host and of-the-neighbors the Parnassian him recess
διαυλοδρομᾶν ὕπατον παίδων ἀνέειπεν.
of-double-course-runners highest of-boys proclaimed
Ἄπολλον, γλυκὺ δ᾽ ἀνθρώπων τέλος ἀρχά τε
Apollo sweet and of-men the-end the-beginning and
δαίμονος ὀρνύντος αὔξεται·
divinity urging grows
ὁ μέν που τεοῖς γε μήδεσι τοῦτ᾽ ἔπραξεν·
he indeed surely by-your indeed counsels this did
τὸ δὲ συγγενὲς ἐμβέβακεν ἴχνεσιν πατρὸς
the and inborn has-trodden in-the-footsteps of-his-father

Ὀλυμπιονίκα δὶς ἐν πολεμαδόκοις
Olympic-victor twice in war-sustaining
Ἄρεος ὅπλοις·
of-Ares arms
ἔθηκε καὶ βαθυλείμων ὑπὸ Κίρρας ἀγὼν
made also deep-meadowed under of-Cirrha contest
πέτραν κρατησίποδα Φρικίαν.
the-rock victorious-of-foot Phricias
ἔσποιτο μοῖρα καὶ ὑστέραισιν
may-follow fate also later
ἐν ἁμέραις ἀγάνορα πλοῦτον ἀνθεῖν σφίσιν·
in days lordly wealth to-flower for-them

τῶν δ' ἐν Ἑλλάδι τερπνῶν
of-the and in Greece delights
λαχόντες οὐκ ὀλίγαν δόσιν, μὴ φθονεραῖς ἐκ θεῶν
having-won not small gift not envious from gods
μετατροπίαις ἐπικύρσαιεν. θεὸς εἴη
reversals may-they-meet god may-be
ἀπήμων κέαρ· εὐδαίμων δὲ καὶ ὑμνητὸς
unharmed in-heart happy and also hymned
οὗτος ἀνὴρ γίγνεται σοφοῖς,
this man becomes for-the-wise
ὃς ἂν χερσὶν ἢ ποδῶν ἀρετᾷ κρατήσαις
who — with-hands or of-feet by-excellence prevailing
τὰ μέγιστ' ἀέθλων ἕλῃ τόλμᾳ τε καὶ σθένει,
the greatest of-prizes takes by-daring both and strength

καὶ ζώων ἔτι νεαρὸν
and living still young
κατ' αἶσαν υἱὸν ἴδῃ τυχόντα στεφάνων Πυθίων.
in due-measure son sees winning crowns Pythian
ὁ χάλκεος οὐρανὸς οὔ ποτ' ἀμβατὸς αὐτῷ.
the brazen heaven not ever to-be-climbed for-him
ὅσαις δὲ βροτὸν ἔθνος ἀγλαΐαις
as-many-as and mortal race splendors
ἁπτόμεσθα, περαίνει πρὸς ἔσχατον
we-touch be-reaches to farthest
πλόον. ναυσὶ δ' οὔτε πεζὸς ἰὼν κεν εὕροις
voyage in-ships and nor on-foot going — you-would-find
ἐς Ὑπερβορέων ἀγῶνα θαυματὰν ὁδόν.
to of-the-Hyperboreans gathering wondrous road

παρ᾽ οἷς ποτε Περσεὺς ἐδαίσατο λαγέτας,
among whom once Perseus feasted leader
δώματ᾽ ἐσελθών,
houses entering
κλειτὰς ὄνων ἑκατόμβας ἐπιτόσσαις θεῷ
famous of-asses hecatombs coming-upon to-the-god
ῥέζοντας· ὧν θαλίαις ἔμπεδον
sacrificing in-whose festivities continually
35 εὐφαμίαις τε μάλιστ᾽ Ἀπόλλων
praises and most Apollo
χαίρει, γελᾷ θ᾽ ὁρῶν ὕβριν ὀρθίαν κνωδάλων.
rejoices laughs and seeing insolence rampant of-the-beasts

Μοῖσα δ᾽ οὐκ ἀποδαμεῖ
the-Muse and not is-absent
τρόποις ἐπὶ σφετέροισι· παντᾷ δὲ χοροὶ παρθένων
ways for their everywhere and choruses of-maidens
λυρᾶν τε βοαὶ καναχαί τ᾽ αὐλῶν δονέονται·
of-lyres and cries clangs and of-pipes are-whirled
40 δάφνᾳ τε χρυσέᾳ κόμας ἀναδήσαντες εἰλαπινάζοισιν εὐφρόνως.
with-laurel and golden hair binding they-feast cheerfully
νόσοι δ᾽ οὔτε γῆρας οὐλόμενον κέκραται
diseases and nor old-age baneful is-mixed
ἱερᾷ γενεᾷ· πόνων δὲ καὶ μαχᾶν ἄτερ

οἰκέοισι φυγόντες
they-dwell having-fled
ὑπέρδικον Νέμεσιν. θρασείᾳ δὲ πνέων καρδίᾳ
over-just Nemesis with-bold and breathing heart
μόλεν Δανάας ποτὲ παῖς, ἀγεῖτο δ' Ἀθάνα,
came of-Danae once the-son led and Athena
ἐς ἀνδρῶν μακάρων ὅμιλον· ἔπεφνέν τε
to of-men blessed the-company he-slew and
Γοργόνα, καὶ ποικίλον κάρα
the-Gorgon and dappled head
δρακόντων φόβαισιν ἤλυθε νασιώταις
of-serpents with-locks came for-the-islanders
λίθινον θάνατον φέρων. ἐμοὶ δὲ θαυμάσαι
stony death bringing to-me and to-marvel

θεῶν τελεσάντων οὐδέν ποτε φαίνεται
gods accomplishing nothing ever appears
ἔμμεν ἄπιστον.
to-be unbelievable
κώπαν σχάσον, ταχὺ δ' ἄγκυραν ἔρεισον χθονὶ
oar check quickly and anchor fix in-ground
πρῴραθε, χοιράδος ἄλκαρ πέτρας.
from-the-prow of-the-reef defense rock
ἐγκωμίων γὰρ ἄωτος ὕμνων
of-encomiastic for the-flower hymns
ἐπ' ἄλλοτ' ἄλλον ὥτε μέλισσα θύνει λόγον.
upon at-other-times another like a-bee darts story

ἔλπομαι δ' Ἐφυραίων
I-hope and of-the-Ephyraeans
ὄπ' ἀμφὶ Πηνειὸν γλυκεῖαν προχεόντων ἐμὰν
voice around the-Peneus sweet pouring-forth my
τὸν Ἱπποκλέαν ἔτι καὶ μᾶλλον σὺν ἀοιδαῖς
— Hippocleas still and more with songs
ἕκατι στεφάνων θαητὸν ἐν ἄλιξι
for-the-sake-of crowns wondrous among age-mates
θησέμεν ἐν καὶ παλαιτέροις,
to-make among and older
νέαισίν τε παρθένοισι μέλημα. καὶ γὰρ
for-young and maidens a-care and for
ἑτέροις ἑτέρων ἔρως ὑπέκνισε φρένας·
in-others of-others love has-stirred minds

τῶν δ' ἕκαστος ὀρούει,
of-these and each strives
τυχών κεν ἁρπαλέαν σχέθοι φροντίδα τὰν πὰρ ποδός·
attaining — eagerly-grasped would-hold care the by foot
τὰ δ' εἰς ἐνιαυτὸν ἀτέκμαρτον προνοῆσαι.
the-things and to a-year unforeseeable to-foresee
πέποιθα ξενίᾳ προσανεῖ Θώρακος,
I-trust in-the-hospitality gentle of-Thorax
ὅσπερ ἐμὰν ποιπνύων χάριν
who my laboring for-sake
τόδ' ἔζευξεν ἅρμα Πιερίδων τετράορον,
this yoked chariot of-the-Pierides four-horsed
φιλέων φιλέοντ', ἄγων ἄγοντα προφρόνως.
loving loving leading leading gladly

πειρῶντι δὲ καὶ χρυσὸς ἐν βασάνῳ πρέπει
to-one-testing and also gold on touchstone shines
καὶ νόος ὀρθός.
and mind upright
ἀδελφεοὺς ἔτ᾽ ἐπαινήσομεν ἐσλούς, ὅτι
brothers still we-will-praise noble because
ὑψοῦ φέροντι νόμον Θεσσαλῶν
on-high they-bear the-law of-the-Thessalians
αὔξοντες· ἐν δ᾽ ἀγαθοῖσι κεῖνται
exalting in and good-men lie
πατρώϊαι κεδναὶ πολίων κυβερνάσιες.
ancestral trusty of-cities pilotings

ΘΡΑΣΥΔΑΙΩ ΘΗΒΑΙΩ ΠΑΙΔΙ ΣΤΑΔΙΕΙ

XI · FOR THRASYDAEUS OF THEBES

The poet summons the heroines of Thebes to Apollo's shrine to sing of Thrasydaeus, whose Pythian win brings his house a third crown. A nurse saved Orestes when Clytemnestra killed Agamemnon and Cassandra. The poet asks whether Iphigeneia's death or adultery drove her. Orestes later killed his mother and Aegisthus. The poet corrects his course, recalls the family's victories, prefers the moderate life to tyranny, and holds up Iolaus and the Dioscuri as models of lasting fame.

Κάδμου κόραι, Σεμέλα μὲν Ὀλυμπιάδων ἀγυιᾶτις,
of-Cadmus daughters Semele indeed of-Olympian-goddesses neighbor
Ἰνώ τε Λευκοθέα ποντιᾶν ὁμοθάλαμε Νηρηΐδων,
Ino and Leucothea of-the-sea sharing-chamber Nereids
ἴτε σὺν Ἡρακλέος ἀριστογόνῳ
come with of-Heracles best-childed
ματρὶ πὰρ Μελίαν χρυσέων ἐς ἄδυτον τριπόδων
mother beside Melia of-golden to inner-shrine tripods
θησαυρόν, ὃν περίαλλ' ἐτίμασε Λοξίας,
treasury which above-all honored Loxias

Ἰσμήνιον δ' ὀνύμαξεν, ἀλαθέα μαντίων θῶκον,
Ismenian and named true of-prophecies seat
ὦ παῖδες Ἁρμονίας, ἔνθα καί νυν ἐπίνομον ἡρωΐδων
O children of-Harmonia where also now native of-heroines
στρατὸν ὁμαγερέα καλεῖ συνίμεν,
host assembled he-calls to-come-together

ὄφρα Θέμιν ἱερὰν Πυθῶνά τε καὶ ὀρθοδίκαν
so-that Themis holy Pytho both and right-judging
γᾶς ὀμφαλὸν κελαδήσετ᾽ ἄκρᾳ σὺν ἑσπέρᾳ,
of-earth navel you-may-celebrate at-the-edge with evening

ἑπταπύλοισι Θήβαις
for-seven-gated Thebes
χάριν ἀγῶνί τε Κίρρας,
for-the-sake to-the-contest and of-Cirrha
ἐν τῷ Θρασυδαῖος ἔμνασεν ἑστίαν
in which Thrasydaeus brought-to-mind hearth
τρίτον ἐπὶ στέφανον πατρῴαν βαλών,
third upon crown ancestral casting
ἐν ἀφνεαῖς ἀρούραισι Πυλάδα
in rich fields of-Pylades
νικῶν ξένου Λάκωνος Ὀρέστα.
winning of-the-friend Laconian Orestes

τὸν δὴ φονευομένου πατρὸς Ἀρσινόα Κλυταιμνήστρας
whom indeed being-slain father Arsinoe of-Clytemnestra
χειρῶν ὕπο κρατερᾶν ἐκ δόλου τροφὸς ἄνελε δυσπενθέος,
hands from mighty out-of treachery nurse rescued deep-grieving
ὁπότε Δαρδανίδα κόραν Πριάμου
when Dardanian daughter of-Priam
Κασσάνδραν πολιῷ χαλκῷ σὺν Ἀγαμεμνονίᾳ
Cassandra with-gray bronze together-with Agamemnon's
ψυχᾷ πόρευσ᾽ Ἀχέροντος ἀκτὰν παρ᾽ εὔσκιον
soul she-sent of-Acheron shore by shadowy

νηλὴς γυνά. πότερόν νιν ἄρ' Ἰφιγένει' ἐπ' Εὐρίπῳ
pitiless woman whether her then Iphigeneia at Euripus
σφαχθεῖσα τῆλε πάτρας ἔκνισεν βαρυπάλαμον ὄρσαι χόλον;
slaughtered far from-fatherland stung heavy-handed to-rouse wrath
ἢ ἑτέρῳ λέχεϊ δαμαζομέναν
or by-another bed subdued
ἔννυχοι πάραγον κοῖται; τὸ δὲ νέαις ἀλόχοις
nightly led-astray couplings it and for-young wives
ἔχθιστον ἀμπλάκιον καλύψαι τ' ἀμάχανον
most-hateful fault to-hide and impossible

ἀλλοτρίαισι γλώσσαις·
from-others' tongues
κακολόγοι δὲ πολῖται.
evil-speaking and citizens
ἴσχει τε γὰρ ὄλβος οὐ μείονα φθόνον·
holds and for prosperity not less envy
ὁ δὲ χαμηλὰ πνέων ἄφαντον βρέμει.
he and low breathing unseen roars
θάνεν μὲν αὐτὸς ἥρως Ἀτρεΐδας
died indeed himself the-hero son-of-Atreus
ἵκων χρόνῳ κλυταῖς ἐν Ἀμύκλαις,
coming in-time glorious in Amyclae

μάντιν τ᾽ ὄλεσσε κόραν, ἐπεὶ ἀμφ᾽ Ἑλένᾳ πυρωθέντων
the-seer and he-destroyed the-maiden when for Helen of-burned
Τρώων ἔλυσε δόμους ἁβρότατος. ὁ δ᾽ ἄρα γέροντα ξένον
the-Trojans he-stripped houses of-luxury he and then old host
Στρόφιον ἐξίκετο, νέα κεφαλά,
Strophius reached young head
Παρνασοῦ πόδα ναίοντ᾽· ἀλλὰ χρονίῳ σὺν Ἄρει
of-Parnassus foot dwelling but late with Ares
πέφνεν τε ματέρα θῆκέ τ᾽ Αἴγισθον ἐν φοναῖς.
slew both his-mother laid and Aegisthus in blood

ἦ ῥ᾽, ὦ φίλοι, κατ᾽ ἀμευσιπόρους τριόδους ἐδινήθην,
truly then O friends at changing-ways crossroads was-I-whirled
ὀρθὰν κέλευθον ἰὼν τὸ πρίν· ἤ μέ τις ἄνεμος ἔξω πλόου
straight road going the before or me some wind out-of course
ἔβαλεν, ὡς ὅτ᾽ ἄκατον εἰναλίαν;
cast as when skiff sea-going
Μοῖσα, τὸ δὲ τεόν, εἰ μισθοῖο συνέθευ παρέχειν
Muse the and yours if for-pay you-agreed to-furnish
φωνὰν ὑπάργυρον, ἄλλοτ᾽ ἄλλᾳ ταρασσέμεν
voice silvered at-other-times another-way to-stir

ἢ πατρὶ Πυθονίκῳ
or for-the-father Pythian-victor
τό γέ νυν ἢ Θρασυδαίῳ·
the indeed now or for-Thrasydaeus
τῶν εὐφροσύνα τε καὶ δόξ᾽ ἐπιφλέγει.
whose gladness both and fame blazes

τὰ μὲν ἐν ἅρμασι καλλίνικοι πάλαι,
the indeed in chariots glorious-victors of-old
Ὀλυμπίᾳ ἀγώνων πολυφάτων
at-Olympia of-contests much-famed
ἔσχον θοὰν ἀκτῖνα σὺν ἵπποις·
won swift radiance with horses

Πυθοῖ τε γυμνὸν ἐπὶ στάδιον καταβάντες ἤλεγξαν
at-Pytho and naked to stadium going-down they-put-to-shame
Ἑλλανίδα στρατιὰν ὠκύτατι. θεόθεν ἐραίμαν καλῶν,
the-Greek host by-speed from-the-gods may-I-love noble-things
δυνατὰ μαιόμενος ἐν ἁλικίᾳ.
possible-things seeking in my-time
τῶν γὰρ ἂμ πόλιν εὑρίσκων τὰ μέσα μακροτέρῳ
of-the for in city finding the middle-things with-longer
ὄλβῳ τεθαλότα, μέμφομ' αἶσαν τυραννίδων·
prosperity flourishing I-blame the-lot of-tyrannies

ξυναῖσι δ' ἀμφ' ἀρεταῖς τέταμαι. φθονεροὶ δ' ἀμύνονται
common and for excellences I-strive envious and are-warded-off
ἆται, εἴ τις ἄκρον ἑλὼν ἀσυχᾷ τε νεμόμενος αἰνὰν ὕβριν
ruin if one the-top taking quietly and dwelling dread insolence
ἀπέφυγεν· μέλανος ἂν ἐσχατιὰν
escapes of-black — to-the-edge
καλλίονα θανάτου στείχοι, γλυκυτάτᾳ γενεᾷ
more-noble of-death he-would-go to-sweetest offspring
εὐώνυμον κτεάνων κρατίσταν χάριν πορών.
well-named of-possessions best grace granting

ἅ τε τὸν Ἰφικλείδαν
which and — son-of-Iphicles
διαφέρει Ἰόλαον
spreads-abroad Iolaus
ὑμνητὸν ἐόντα, καὶ Κάστορος βίαν,
hymned being and of-Castor the-might
σέ τε, ἄναξ Πολύδευκες, υἱοὶ θεῶν,
you and lord Polydeuces sons of-the-gods
τὸ μὲν παρ' ἅμαρ ἕδραισι Θεράπνας,
at-one-time indeed by day in-the-seats of-Therapna
τὸ δ' οἰκέοντας ἔνδον Ὀλύμπου.
at-another and dwelling within Olympus

ΜΙΔᾺ ΑΚΡΑΓΑΝΤΙΝῼ ΑΥΛΗΤΗ̣

XII · FOR MIDAS OF ACRAGAS

The poet asks Acragas to welcome Midas, victor in flute-playing. Athena invented that art when Perseus beheaded Medusa and brought doom on Polydectes and Seriphos. She made the many-headed strain to imitate the Gorgons' wail and gave it to men for contests. No success comes without toil. God may grant it today, but fate cannot be escaped, and a time may come that gives one thing and withholds another.

Αἰτέω σε, φιλάγλαε, καλλίστα βροτεᾶν πολίων,
I-beseech you splendor-loving fairest of-mortal cities
Φερσεφόνας ἕδος, ἅ τ' ὄχθαις ἔπι μηλοβότου
of-Persephone seat who and banks on of-sheep-grazing
ναίεις Ἀκράγαντος ἐΰδματον κολώναν, ὦ ἄνα,
dwell Acragas well-built hill O queen
ἵλαος ἀθανάτων ἀνδρῶν τε σὺν εὐμενίᾳ
gracious of-immortals of-men and with goodwill
δέξαι στεφάνωμα τόδ' ἐκ Πυθῶνος εὐδόξῳ Μίδᾳ,
receive crown this from Pytho for-glorious Midas
αὐτόν τέ νιν Ἑλλάδα νικάσαντα τέχνᾳ, τάν ποτε
himself and him Greece having-surpassed in-the-art which once
Παλλὰς ἐφεῦρε θρασειᾶν Γοργόνων
Pallas invented of-bold the-Gorgons
οὔλιον θρῆνον διαπλέξαισ' Ἀθάνα·
deadly lament weaving-through Athena

τὸν παρθενίοις ὑπό τ᾽ ἀπλάτοις ὀφίων κεφαλαῖς
which maidens' under and unapproachable of-snakes heads
ἄϊε λειβόμενον δυσπενθέϊ σὺν καμάτῳ,
she-heard poured-forth grievous with toil
Περσεὺς ὁπότε τρίτον ἄνυσσεν κασιγνητᾶν μέρος,
Perseus when the-third he-finished of-the-sisters part
εἰναλίᾳ τε Σερίφῳ λαοῖσί τε μοῖραν ἄγων.
to-sea-girt and Seriphos to-the-people and doom bringing
ἤτοι τό τε θεσπέσιον Φόρκοιο μαύρωσεν γένος,
truly the and wondrous of-Phorcus darkened race
λυγρόν τ᾽ ἔρανον Πολυδέκτᾳ θῆκε ματρός τ᾽ ἔμπεδον
grievous and banquet for-Polydectes made of-his-mother and lasting
δουλοσύναν τό τ᾽ ἀναγκαῖον λέχος,
slavery the and enforced bed
εὐπαράου κρᾶτα συλάσαις Μεδοίσας
of-fair-cheeked the-head having-despoiled Medusa

υἱὸς Δανάας· τὸν ἀπὸ χρυσοῦ φαμεν αὐτορύτου
son of-Danae whom from gold we-say self-flowing
ἔμμεναι. ἀλλ᾽ ἐπεὶ ἐκ τούτων φίλον ἄνδρα πόνων
to-be but when out-of these dear man toils
ἐρρύσατο, παρθένος αὐλῶν τεῦχε πάμφωνον μέλος,
she-rescued the-maiden of-pipes made all-voiced song
ὄφρα τὸν Εὐρυάλας ἐκ καρπαλιμᾶν γενύων
so-that the of-Euryale from swift jaws
χριμφθέντα σὺν ἔντεσι μιμήσαιτ᾽ ἐρικλάγκταν γόον.
bursting with instruments she-might-imitate loud-clanging wail
εὗρεν θεός· ἀλλά νιν εὑροῖσ᾽ ἀνδράσι θνατοῖς ἔχειν,
found the-goddess but it having-found for-men mortal to-have

ὠνόμασεν κεφαλᾶν πολλᾶν νόμον,
named of-heads many strain
εὐκλεᾶ λαοσσόων μναστῆρ᾽ ἀγώνων,
glorious of-people-rousing reminder of-contests

λεπτοῦ διανισσόμενον χαλκοῦ θαμὰ καὶ δονάκων,
thin passing-through bronze often and reeds
τοὶ παρὰ καλλιχόρῳ ναίοισι πόλει Χαρίτων.
which by fair-dancing dwell city of-the-Graces
Καφισίδος ἐν τεμένει, πιστοὶ χορευτᾶν μάρτυρες.
of-Cephisus in precinct faithful of-dancers witnesses
εἰ δέ τις ὄλβος ἐν ἀνθρώποισιν, ἄνευ καμάτου
if and any prosperity among men without toil
οὐ φαίνεται· ἐκ δὲ τελευτάσει νιν ἤτοι σάμερον
not appears out and will-bring-to-pass it truly today
δαίμων — τὸ δὲ μόρσιμον οὐ παρφυκτόν, — ἀλλ᾽ ἔσται χρόνος
the-god the but fated not escapable but there-will-be a-time
οὗτος, ὃ καί τιν᾽ ἀελπτίᾳ βαλὼν
this which also one with-unexpectedness striking
ἔμπαλιν γνώμας τὸ μὲν δώσει, τὸ δ᾽ οὔπω.
contrary to-judgment the-one indeed will-give the-other and not-yet

PINDAR

NEMEONIKAI

The Nemean Odes

ΧΡΟΜΙΩ ΑΙΤΝΑΙΩ ΙΠΠΟΙΣ

I · FOR CHROMIUS OF AETNA

The poet begins at Ortygia and praises Chromius' Nemean chariot victory and Sicily, which Zeus gave to Persephone. Chromius is a generous host, a warrior, and a counselor, and he spends his wealth on friends. The infant Heracles strangled the two serpents Hera sent, while Amphitryon rushed in with his sword. Teiresias foretold his labors, his part in the war against the Giants, and his reward of endless peace with Hebe as his wife.

Ἄμπνευμα σεμνὸν Ἀλφεοῦ,
Breathing-place holy of-Alpheus
κλεινᾶν Συρακοσσᾶν θάλος Ὀρτυγία,
of-famous Syracuse scion Ortygia
δέμνιον Ἀρτέμιδος,
couch of-Artemis
Δάλου κασιγνήτα, σέθεν ἁδυεπὴς
of-Delos sister from-you sweet-voiced
ὕμνος ὁρμᾶται θέμεν
hymn sets-out to-make
αἶνον ἀελλοπόδων μέγαν ἵππων, Ζηνὸς Αἰτναίου χάριν·
praise of-storm-footed great horses Zeus Etnaean for-the-sake-of
ἅρμα δ' ὀτρύνει Χρομίου Νεμέα θ' ἕργμασιν
chariot and urges of-Chromius Nemea and for-deeds
νικαφόροις ἐγκώμιον ζεῦξαι μέλος.
victorious encomiastic to-yoke song

ἀρχαὶ δὲ βέβληνται θεῶν
foundations and have-been-laid by-the-gods
κείνου σὺν ἀνδρὸς δαιμονίαις ἀρεταῖς.
that with man's divine excellences
ἔστι δ' ἐν εὐτυχίᾳ
there-is and in success
πανδοξίας ἄκρον· μεγάλων δ' ἀέθλων
of-all-glory the-summit of-great and contests
Μοῖσα μεμνᾶσθαι φιλεῖ.
the-Muse to-remember loves
σπείρέ νυν ἀγλαΐαν τινὰ νάσῳ, τὰν Ὀλύμπου δεσπότας
sow now splendor some on-the-island which of-Olympus the-master
Ζεὺς ἔδωκεν Φερσεφόνᾳ, κατένευσέν τέ οἱ χαίταις,
Zeus gave to-Persephone nodded and to-her with-locks
ἀριστεύοισαν εὐκάρπου χθονὸς
preeminent of-fruitful earth

Σικελίαν πίειραν ὀρθώσειν κορυφαῖς πολίων ἀφνεαῖς.
Sicily rich to-exalt with-peaks of-cities wealthy
ὤπασε δὲ Κρονίων πολέμου μναστῆρά οἱ χαλκεντέος
granted and son-of-Cronus of-war mindful to-her of-bronze-armor
λαὸν ἵππαιχμον θαμὰ δὴ καὶ Ὀλυμπιάδων
a-people horse-fighting often indeed also of-Olympiads
φύλλοις ἐλαιᾶν χρυσέοις
with-leaves of-olive golden
μιχθέντα. πολλῶν ἐπέβαν καιρὸν οὐ ψεύδει βαλών.
mingled of-many I-have-come-upon the-right-moment not with-falsehood casting

ἔσταν δ' ἐπ' αὐλείαις θύραις
I-stood and at courtyard doors
ἀνδρὸς φιλοξείνου καλὰ μελπόμενος,
of-a-man hospitable noble-things singing
ἔνθα μοι ἁρμόδιον
where for-me fitting
δεῖπνον κεκόσμηται, θαμὰ δ' ἀλλοδαπῶν
feast is-arrayed often and of-foreigners
οὐκ ἀπείρατοι δόμοι
not unacquainted halls
ἐντί· λέλογχε δὲ μεμφομένοις ἐσλοὺς ὕδωρ καπνῷ φέρειν
are he-has-gotten and against-blamers good water to-the-smoke to-bring
ἀντίον. τέχναι δ' ἑτέρων ἕτεραι· χρὴ δ'
opposite skills and of-others other one-must and
ἐν εὐθείαις ὁδοῖς στείχοντα μάρνασθαι φυᾷ.
in straight roads walking to-strive by-nature

πράσσει γὰρ ἔργῳ μὲν σθένος,
achieves for in-deed indeed strength
βουλαῖσι δὲ φρήν, ἐσσόμενον προϊδεῖν
in-counsels and mind the-future to-foresee
συγγενὲς οἷς ἕπεται.
inborn for-whom it-follows
Ἀγησιδάμου παῖ, σέο δ' ἀμφὶ τρόπῳ
of-Hagesidamus son your and in character
τῶν τε καὶ τῶν χρήσιες.
of-these both and of-those uses

οὐκ ἔραμαι πολὺν ἐν μεγάρῳ πλοῦτον κατακρύψαις ἔχειν,
not I-desire much in hall wealth hiding to-keep
ἀλλ' ἐόντων εὖ τε παθεῖν καὶ ἀκοῦσαι
but of-what-is well both to-fare and to-be-spoken-of
φίλοις ἐξαρκέων. κοιναὶ γὰρ ἔρχονθ' ἑλπίδες
to-friends sufficing common for come hopes

πολυπόνων ἀνδρῶν. ἐγὼ δ' Ἡρακλέος ἀντέχομαι προφρόνως,
of-toiling men I and Heracles cling-to gladly
ἐν κορυφαῖς ἀρετᾶν μεγάλαις ἀρχαῖον ὀτρύνων λόγον,
on peaks of-excellences great ancient rousing story
ὡς, ἐπεὶ σπλάγχνων ὕπο ματέρος αὐτίκα
how when womb from of-his-mother at-once
θαητὰν ἐς αἴγλαν παῖς Διὸς
wondrous into radiance the-son of-Zeus
ὠδῖνα φεύγων διδύμῳ σὺν κασιγνήτῳ μόλεν,
pangs escaping twin with brother came

ὡς οὐ λαθὼν χρυσόθρονον
how not escaping golden-throned
Ἥραν κροκωτὸν σπάργανον ἐγκατέβα·
Hera saffron swaddling-clothes he-went-into
ἀλλὰ θεῶν βασιλέα
but of-the-gods the-queen
σπερχθεῖσα θυμῷ πέμπε δράκοντας ἄφαρ.
spurred in-heart sent serpents at-once

τοὶ μὲν οἰχθεισᾶν πυλᾶν
they indeed opened gates
ἐς θαλάμου μυχὸν εὐρὺν ἔβαν, τέκνοισιν ὠκείας γνάθους
into of-the-chamber recess wide went to-the-children swift jaws
ἀμφελίξασθαι μεμαῶτες· ὁ δ' ὀρθὸν μὲν
to-wrap-around eager he and upright indeed
ἄντεινεν κάρα, πειρᾶτο δὲ πρῶτον μάχας,
raised his-head tried and first battle

διssαῖσι δοιοὺς αὐχένων
with-two two by-the-necks
μάρψαις ἀφύκτοις χερσὶν ἑαῖς ὄφιας·
seizing inescapable hands his snakes
ἀγχομένοις δὲ χρόνος
being-strangled and time
ψυχὰς ἀπέπνευσεν μελέων ἀφάτων.
the-lives breathed-out from-limbs monstrous
ἐκ δ' ἄρ' ἄτλατον δέος
from and then unbearable fear
πλᾶξε γυναῖκας, ὅσαι τύχον Ἀλκμήνας ἀρήγοισαι λέχει·
struck the-women as-many-as happened of-Alcmena helping at-the-bed
καὶ γὰρ αὐτά, ποσσὶν ἄπεπλος ὀρούσαισ' ἀπὸ στρωμνᾶς,
and for herself with-feet unrobed leaping from bed
ὅμως ἄμυνεν ὕβριν κνωδάλων.
nevertheless warded-off insolence of-the-beasts

ταχὺ δὲ Καδμείων ἀγοὶ χαλκέοις ἀθρόοι σὺν ὅπλοις ἔδραμον·
quickly and of-the-Cadmeians chiefs bronze thronging with arms ran
ἐν χερὶ δ' Ἀμφιτρύων κολεοῦ γυμνὸν τινάσσων φάσγανον
in hand and Amphitryon from-the-sheath naked brandishing sword
ἵκετ', ὀξείαις ἀνίαισι τυπείς. τὸ γὰρ οἰκεῖον πιέζει πάνθ' ὁμῶς·
came with-sharp pains stricken the for one's-own presses all alike
εὐθὺς δ' ἀπήμων κραδία κᾶδος ἀμφ' ἀλλότριον.
at-once and untroubled the-heart care about another's

ἔστα δὲ θάμβει δυσφόρῳ
he-stood and with-amazement hard-to-bear
τερπνῷ τε μιχθείς. εἶδε γὰρ ἐκνόμιον
delightful and mingled he-saw for extraordinary
λῆμά τε καὶ δύναμιν
spirit both and power
υἱοῦ παλίγγλωσσον δέ οἱ ἀθάνατοι
of-his-son contrary and to-him the-immortals
ἀγγέλων ῥῆσιν θέσαν.
of-the-messengers the-story made
γείτονα δ' ἐκκάλεσεν Διὸς ὑψίστου προφάταν ἔξοχον,
neighbor and he-called-forth of-Zeus highest prophet eminent
ὀρθόμαντιν Τειρεσίαν· ὁ δέ οἱ φράζε καὶ παντὶ
true-seer Teiresias he and to-him declared and to-all
στρατῷ, ποίαις ὁμιλήσει τύχαις,
the-host with-what he-will-meet fortunes

ὅσσους μὲν ἐν χέρσῳ κτανών,
how-many indeed on land having-slain
ὅσσους δὲ πόντῳ θῆρας ἀϊδροδίκας·
how-many and on-sea beasts lawless
καί τινα σὺν πλαγίῳ
and some with crooked
ἀνδρῶν κόρῳ στείχοντα τὸν ἐχθρότατον
of-men surfeit walking the most-hateful
φᾶσέ νιν δώσειν μόρῳ.
he-said him to-give to-doom
καὶ γὰρ ὅταν θεοὶ ἐν πεδίῳ Φλέγρας Γιγάντεσσιν μάχαν
and for when the-gods on plain of-Phlegra with-the-Giants battle
ἀντιάζωσιν, βελέων ὑπὸ ῥιπαῖσι κείνου
meet of-shafts under the-rushes of-him
φαιδίμαν γαίᾳ πεφύρσεσθαι κόμαν
shining in-earth to-be-fouled hair

ἔνεπεν· αὐτὸν μὰν ἐν εἰράνᾳ καμάτων μεγάλων ἐν σχερῷ
he-said himself indeed in peace for-toils great in continuance
ἀσυχίαν τὸν ἅπαντα χρόνον ποινὰν λαχόντ᾽ ἐξαίρετον
peace the whole time as-reward having-won choice
ὀλβίοις ἐν δώμασι, δεξάμενον θαλερὰν Ἥβαν ἄκοιτιν καὶ γάμον
blessed in halls having-received blooming Hebe as-wife and wedding
δαίσαντα, πὰρ Διὶ Κρονίδᾳ σεμνὸν αἰνήσειν νόμον.
having-feasted by Zeus son-of-Cronus holy to-praise law

ΤΙΜΟΔΗΜΩ ΑΧΑΡΝΕΙ ΠΑΓΚΡΑΤΙΑΣΤΗ

II · FOR TIMODEMUS OF ACHARNAE

As the Homeridae begin with Zeus, so Timodemus begins his victories at Nemea in the pancratium. The poet hopes he will win at the Isthmus and Pytho too, as Orion follows the Pleiades. Salamis can rear warriors, and Acharnae is famed for brave men; the Timodemidae have won many victories, and the citizens should celebrate.

Ὅθεν περ καὶ Ὁμηρίδαι
Whence indeed also the-Homeridae
ῥαπτῶν ἐπέων τὰ πόλλ' ἀοιδοὶ
of-stitched words the most singers
ἄρχονται, Διὸς ἐκ προοιμίου· καὶ ὅδ' ἀνὴρ
begin of-Zeus from prelude and this man
καταβολὰν ἱερῶν ἀγώνων νικαφορίας
foundation of-sacred contests of-victory
δέδεκται πρῶτον Νεμεαίου
has-received first of-Nemean
ἐν πολυυμνήτῳ Διὸς ἄλσει.
in much-hymned Zeus grove

ὀφείλει δ' ἔτι, πατρίαν
owes and still ancestral
εἴπερ καθ' ὁδόν νιν εὐθυπομπὸς
if-indeed along the-road him straight-guiding
αἰὼν ταῖς μεγάλαις δέδωκε κόσμον Ἀθάναις,
life to-the great has-given as-ornament Athens

θαμὰ μὲν Ἰσθμιάδων δρέπεσθαι
often indeed of-the-Isthmian-games to-pluck
κάλλιστον ἄωτον, ἐν Πυθίοισί τε νικᾶν
fairest flower in Pythian and to-win
Τιμονόου παῖδ· ἔστι δ' ἐοικὸς
of-Timonous the-son it-is and fitting

ὀρειᾶν γε Πελειάδων
mountain indeed Pleiades
μὴ τηλόθεν Ὠαρίωνα νεῖσθαι.
not far-from Orion to-go
καὶ μὰν ἁ Σαλαμίς γε θρέψαι φῶτα μαχατὰν
and indeed the Salamis indeed to-rear a-man warrior
δυνατός. ἐν Τρωΐᾳ μὲν Ἕκτωρ Αἴαντος
able in Troy indeed Hector Ajax
ἄκουσεν· ὦ Τιμόδημε, σὲ δ' ἀλκὰ
heard O Timodemus you and valor
παγκρατίου τλάθυμος ἀέξει.
of-the-pancratium steadfast exalts

Ἀχάρναι δὲ παλαίφατοι
Acharnae and famed-of-old
εὐάνορες· ὅσσα δ' ἀμφ' ἀέθλοις,
brave-manned as-many-as and for contests
Τιμοδημίδαι ἐξοχώτατοι προλέγονται.
the-Timodemidae most-eminent are-proclaimed

παρὰ μὲν ὑψιμέδοντι Παρνασῷ τέσσαρας
by indeed high-ruling Parnassus four
ἐξ ἀέθλων νίκας ἐκόμιξαν·
from games victories they-carried-off
ἀλλὰ Κορινθίων ὑπὸ φωτῶν
but the-Corinthians by men

ἐν ἐσλοῦ Πέλοπος πτυχαῖς
in of-noble Pelops folds
ὀκτὼ στεφάνοις ἔμιχθεν ἤδη·
eight with-crowns they-have-been-joined already
ἑπτὰ δ' ἐν Νεμέᾳ τὰ δ' οἴκοι μάσσον' ἀριθμοῦ
seven and in Nemea the and at-home greater than-number
Διὸς ἀγῶνι. τόν, ὦ πολῖται, κωμάξατε
of-Zeus in-the-contest him O citizens revel-for
Τιμοδήμῳ σὺν εὐκλεΐ νόστῳ·
for-Timodemus with glorious return
ἁδυμελεῖ δ' ἐξάρχετε φωνᾷ.
with-sweet-melodied and lead-off voice

ΑΡΙΣΤΟΚΛΕΙΔΗ ΑΙΓΙΝΗΤΗ ΠΑΓΚΡΑΤΙΑΣΤΗ

III · FOR ARISTOCLEIDES OF AEGINA

The poet asks the Muse to come to Aegina, where young men await her song for Aristocleides, victor in the pancratium. He has reached the height of excellence, as no one sails past the pillars of Heracles. The poet praises the Aeacidae: Peleus, who took Iolcus and won Thetis, and Telamon. Inborn glory outweighs taught skill. The young Achilles hunted lions and deer under Chiron's care and grew up to kill Memnon at Troy. The poet sends his song late, like an eagle seizing prey.

῾Ω πότνια Μοῖσα, μᾶτερ ἀμετέρα, λίσσομαι,
O queenly Muse mother our I-beseech
τὰν πολυξέναν ἐν ἱερομηνίᾳ Νεμεάδι
the much-visited in sacred-month Nemean
ἵκεο Δωρίδα νᾶσον Αἴγιναν· ὕδατι γὰρ
come-to Dorian island Aegina water for
μένοντ᾽ ἐπ᾽ Ἀσωπίῳ μελιγαρύων τέκτονες
wait at Asopian of-honey-voiced builders
κώμων νεανίαι, σέθεν ὄπα μαιόμενοι. 5
revels young-men your voice seeking
διψῇ δὲ πρᾶγος ἄλλο μὲν ἄλλου·
thirsts and deed other indeed for-other
ἀεθλονικία δὲ μάλιστ᾽ ἀοιδὰν φιλεῖ,
athletic-victory but most song loves
στεφάνων ἀρετᾶν τε δεξιωτάταν ὀπαδόν·
of-crowns of-excellences and most-skillful attendant

τᾶς ἀφθονίαν ὄπαζε μήτιος ἀμᾶς ἄπο·
of-which abundance grant wisdom my from
ἄρχε δ' οὐρανοῦ πολυνεφέλα κρέοντι, θύγατερ,
begin and of-the-sky of-many-clouds for-the-ruler daughter
δόκιμον ὕμνον· ἐγὼ δὲ κείνων τέ νιν ὀάροις
approved hymn I and of-them and it with-the-voices
λύρᾳ τε κοινάσομαι. χαρίεντα δ' ἔξει πόνον
with-lyre and will-share delightful and it-will-have toil
χώρας ἄγαλμα, Μυρμιδόνες ἵνα πρότεροι
of-the-land the-glory Myrmidons where former
ᾤκησαν, ὧν παλαίφατον ἀγορὰν
dwelt whose famed-of-old marketplace
οὐκ ἐλεγχέεσσιν Ἀριστοκλείδας τεὰν
not with-reproaches Aristocleides your
ἐμίανε κατ' αἶσαν ἐν περισθενεῖ μαλαχθεὶς
stained in due-measure in very-mighty growing-weak

παγκρατίου στόλῳ· καματωδέων δὲ πλαγᾶν
of-the-pancratium venture of-wearisome and blows
ἄκος ὑγιηρὸν ἐν βαθυπεδίῳ Νεμέᾳ τὸ καλλίνικον φέρει.
remedy healthful in deep-plained Nemea the glorious-victory brings
εἰ δ' ἐὼν καλὸς ἔρδων τ' ἐοικότα μορφᾷ
if and being fair doing and things-fitting for-his-form
ἀνορέαις ὑπερτάταις ἐπέβα παῖς Ἀριστοφάνεος· οὐκέτι πρόσω
manly-deeds highest mounted the-son of-Aristophanes no-longer further
ἀβάταν ἄλα κιόνων ὑπὲρ Ἡρακλέος περᾶν εὐμαρές,
untrodden sea pillars beyond of-Heracles to-cross easy

ἥρως θεὸς ἃς ἔθηκε ναυτιλίας ἐσχάτας
the-hero god which set of-seafaring farthest
μάρτυρας κλυτάς· δάμασε δὲ θῆρας ἐν πελάγεσιν
witnesses famous he-subdued and beasts in seas
ὑπέροχος, διά τ᾽ ἐξερεύνασε τεναγέων
surpassing through and he-explored of-shallows
ῥοάς, ὅπα πόμπιμον κατέβαινε νόστου τέλος,
the-streams where escorting he-came-down-to of-return the-end
καὶ γᾶν φράδασσε. θυμέ, τίνα πρὸς ἀλλοδαπὰν
and land he-made-known heart what to foreign
ἄκραν ἐμὸν πλόον παραμείβεαι;
headland my voyage do-you-turn-aside
Αἰακῷ σε φαμὶ γένει τε Μοῖσαν φέρειν,
to-Aeacus you I-say to-the-race and the-Muse to-bring
ἕπεται δὲ λόγῳ δίκας ἄωτος, "ἐσλὸς αἰνεῖν·"
follows and the-word of-justice the-flower good to-praise

οὐδ᾽ ἀλλοτρίων ἔρωτες ἀνδρὶ φέρειν κρέσσονες·
nor of-others' loves for-a-man to-bear better
οἴκοθεν μάτευε. ποτίφορον δὲ κόσμον ἔλαβες
from-home seek fitting and ornament you-have-received
γλυκύ τι γαρυέμεν. παλαιαῖσι δ᾽ ἐν ἀρεταῖς
sweet something to-sing ancient and in excellences
γέγαθε Πηλεὺς ἄναξ ὑπέραλλον αἰχμὰν ταμών·
rejoices Peleus lord surpassing spear having-cut
ὃς καὶ Ἰωλκὸν εἷλε μόνος ἄνευ στρατιᾶς,
who also Iolcus took alone without army

καὶ ποντίαν Θέτιν κατέμαρψεν
and sea-dwelling Thetis seized
ἐγκονητί. Λαομέδοντα δ' εὐρυσθενὴς
swiftly Laomedon and wide-mighty
Τελαμὼν Ἰόλᾳ παραστάτας ἐὼν ἔπερσεν·
Telamon to-Iolaus comrade being destroyed

καί ποτε χαλκότοξον Ἀμαζόνων μετ' ἀλκὰν
and once bronze-bowed of-the-Amazons after valor
ἕπετό οἱ· οὐδέ νίν ποτε φόβος
followed him nor him ever fear
ἀνδροδάμας ἔπαυσεν ἀκμὰν φρενῶν.
man-subduing stopped edge of-mind
συγγενεῖ δέ τις εὐδοξίᾳ μέγα βρίθει·
in-inborn and one glory greatly weighs
ὃς δὲ διδάκτ' ἔχει, ψεφηνὸς ἀνὴρ ἄλλοτ'
who and taught-things has obscure man at-other-times
ἄλλα πνέων οὔ ποτ' ἀτρεκεῖ
other-things breathing not ever with-sure
κατέβα ποδί, μυριᾶν δ' ἀρετᾶν ἀτελεῖ νόῳ γεύεται.
went-down foot of-countless and excellences with-imperfect mind tastes

ξανθὸς δ᾽ Ἀχιλεὺς τὰ μὲν μένων Φιλύρας ἐν δόμοις
fair-haired and Achilles the indeed staying of-Philyra in house
παῖς ἐὼν ἄθυρε μεγάλα ἔργα, χερσὶ θαμινὰ
child being played great deeds with-hands often
βραχυσίδαρον ἄκοντα πάλλων, ἴσα τ᾽ ἀνέμοις
short-ironed javelin brandishing like and to-winds
μάχᾳ λεόντεσσιν ἀγροτέροις ἔπρασσεν φόνον,
in-battle on-lions wild he-wrought slaughter
κάπρους τ᾽ ἔναιρε, σώματα δὲ παρὰ Κρονίδαν
boars and slew bodies and to the-son-of-Cronus
Κένταυρον ἀσθμαίνοντα κόμιζεν,
Centaur panting he-brought
ἑξέτης τὸ πρῶτον, ὅλον δ᾽ ἔπειτ᾽ ἂν χρόνον·
six-years-old the first whole and then throughout time
τὸν ἐθάμβεον Ἄρτεμίς τε καὶ θρασεῖ᾽ Ἀθάνα,
whom marveled-at Artemis both and bold Athena

κτείνοντ᾽ ἐλάφους ἄνευ κυνῶν δολίων θ᾽ ἑρκέων·
killing deer without dogs crafty and nets
ποσσὶ γὰρ κράτεσκε. λεγόμενον δὲ τοῦτο προτέρων
with-feet for he-overpowered told and this of-former-men
ἔπος ἔχω· βαθυμῆτα Χείρων τράφε λιθίνῳ
word I-have deep-counseled Chiron reared stony
Ἰάσον᾽ ἔνδον τέγει, καὶ ἔπειτεν Ἀσκλήπιον,
Jason within chamber and then Asclepius
τὸν φαρμάκων δίδαξε μαλακόχειρα νόμον·
whom of-remedies he-taught gentle-handed the-law

νύμφευσε δ' αὖτις ἀγλαόκαρπον
he-wedded and again splendid-fruited
Νηρέος θύγατρα, γόνον τέ οἱ φέρτατον
of-Nereus daughter offspring and his mightiest
ἀτίταλλεν, ἐν ἁρμένοισι πᾶσι θυμὸν αὔξων·
he-nurtured in fitting all heart increasing

ὄφρα θαλασσίαις ἀνέμων ῥιπαῖσι πεμφθεὶς
so-that by-sea of-winds blasts sent
ὑπὸ Τρωΐαν, δορίκτυπον ἀλαλὰν Λυκίων τε
to Troy spear-clashing war-cry of-the-Lycians and
προσμένοι καὶ Φρυγῶν
he-might-await and of-the-Phrygians
Δαρδάνων τε, καὶ ἐγχεσφόροις ἐπιμίξαις
of-the-Dardanians both and with-spear-bearing mingling
Αἰθιόπεσσι χεῖρας, ἐν φρασὶ πάξαιθ',
Ethiopians hands in mind he-might-fix
ὅπως σφίσι μὴ κοίρανος ὀπίσω
how for-them not the-lord back
πάλιν οἴκαδ' ἀνεψιὸς ζαμενὴς Ἑλένοιο Μέμνων μόλοι.
again home cousin furious of-Helenus Memnon should-come

τηλαυγὲς ἄραρε φέγγος Αἰακιδᾶν αὐτόθεν·
far-shining is-fixed light of-the-Aeacidae from-there
Ζεῦ, τεὸν γὰρ αἷμα, σέο δ' ἀγών, τὸν ὕμνος ἔβαλεν
Zeus your for blood yours and the-contest which the-hymn struck
ὀπὶ νέων ἐπιχώριον χάρμα κελαδέων.
with-voice of-young-men native joy celebrating

βοὰ δὲ νικαφόρῳ σὺν Ἀριστοκλείδᾳ πρέπει,
a-shout and victorious with Aristocleides befits
ὃς τάνδε νᾶσον εὐκλεΐ προσέθηκε λόγῳ
who this island to-glorious added word
καὶ σεμνὸν ἀγλααῖσι μερίμναις
and holy with-splendid cares
Πυθίου Θεάριον. ἐν δὲ πείρᾳ τέλος
of-the-Pythian the-Thearion in and trial the-end
διαφαίνεται, ὧν τις ἐξοχώτερος γένηται,
shows-through in-what one more-eminent becomes

ἐν παισὶ νέοισι παῖς, ἐν ἀνδράσιν ἀνήρ, τρίτον
among boys young a-boy among men a-man third
ἐν παλαιτέροισι, μέρος ἕκαστον οἷον ἔχομεν
among elders part each such-as we-have
βρότεον ἔθνος. ἐλᾷ δὲ καὶ τέσσαρας ἀρετὰς
mortal race drives and also four excellences
ὁ θνατὸς αἰών, φρονεῖν δ' ἐνέπει τὸ παρκείμενον.
the mortal life to-mind and bids the at-hand
τῶν οὐκ ἄπεσσι. χαῖρε, φίλος. ἐγὼ τόδε τοι
of-these not you-are-without farewell friend I this to-you
πέμπω μεμιγμένον μέλι λευκῷ
send mingled honey white
σὺν γάλακτι, κιρναμένα δ' ἔερσ' ἀμφέπει,
with milk mixed and dew covers
πόμ' ἀοίδιμον Αἰολῆσιν ἐν πνοαῖσιν αὐλῶν,
a-draft famed-in-song Aeolian in breaths of-pipes

ὀψέ περ. ἔστι δ᾽ αἰετὸς ὠκὺς ἐν ποτανοῖς,
late though is and eagle swift among winged-things
ὃς ἔλαβεν αἶψα, τηλόθε μεταμαιόμενος, δαφοινὸν ἄγραν ποσίν·
who took suddenly from-afar pursuing tawny prey with-feet
κραγέται δὲ κολοιοὶ ταπεινὰ νέμονται.
clamorous and daws low feed
τίν γε μέν, εὐθρόνου Κλεοῦς ἐθελοίσας,
to-you indeed indeed of-fair-throned Clio willing
ἀεθλοφόρου λήματος ἕνεκεν
prize-winning spirit for-the-sake-of
Νεμέας Ἐπιδαυρόθεν τ᾽ ἄπο καὶ Μεγάρων δέδορκεν φάος.
Nemea from-Epidaurus and from and Megara has-shone light

ΤΙΜΑΣΑΡΧΩ ΑΙΓΙΝΗΤΗ ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗ

IV · FOR TIMASARCHUS OF AEGINA

Song heals toil, and words outlive deeds. The poet praises Timasarchus' wrestling victory and his father Timocritus, who would have sung it had he lived. Telamon fought beside Heracles against Troy, the Meropes, and Alcyoneus. The poet lists the Aeacidae's lands and tells how Peleus escaped Acastus' plot and married Thetis. He praises the Theandridae's victories and sets up his song for the dead uncle Callicles as a pillar whiter than marble. He praises the trainer Melesias.

Ἄριστος εὐφροσύνα πόνων κεκριμένων
Best gladness of-toils decided
ἰατρός· αἱ δὲ σοφαὶ
healer the and wise
Μοισᾶν θύγατρες ἀοιδαὶ θέλξαν νιν ἁπτόμεναι.
of-the-Muses daughters songs charm him touching
οὐδὲ θερμὸν ὕδωρ τόσον γε μαλθακὰ τέγγει
nor warm water so-much indeed soft drenches
γυῖα, τόσσον εὐλογία φόρμιγγι συνάορος.
limbs as-much-as praise with-the-lyre joined
ῥῆμα δ' ἐργμάτων χρονιώτερον βιοτεύει,
word and than-deeds longer lives
ὅ τι κε σὺν Χαρίτων τύχᾳ
what ever — with of-the-Graces fortune
γλῶσσα φρενὸς ἐξέλοι βαθείας.
tongue from-mind should-draw deep

τό μοι θέμεν Κρονίδᾳ τε Διὶ καὶ Νεμέᾳ
this to-me to-set for-the-son-of-Cronus both Zeus and Nemea
Τιμασάρχου τε πάλᾳ
of-Timasarchus and for-wrestling
ὕμνου προκώμιον εἴη· δέξαιτο δ' Αἰακιδᾶν
of-hymn prelude may-be may-receive and of-the-Aeacidae
ἠΰπυργον ἕδος, δίκᾳ ξεναρκεῖ κοινὸν
well-towered seat for-justice guest-protecting common
φέγγος. εἰ δ' ἔτι ζαμενεῖ Τιμόκριτος ἁλίῳ
light if and still in-mighty Timocritus sun
σὸς πατὴρ ἐθάλπετο, ποικίλον κιθαρίζων
your father was-warmed intricate playing-the-lyre
θαμά κε, τῷδε μέλει κλιθείς,
often — to-this song reclining
υἱὸν κελάδησε καλλίνικον
son he-would-have-sung glorious-victor

Κλεωναίου τ' ἀπ' ἀγῶνος ὅρμον στεφάνων
Cleonaean and from contest chain of-crowns
πέμψαντα καὶ λιπαρᾶν
having-sent and shining
εὐωνύμων ἀπ' Ἀθανᾶν, Θήβαις τ' ἐν ἑπταπύλοις,
well-named from Athens Thebes and in seven-gated
οὕνεκ' Ἀμφιτρύωνος ἀγλαὸν παρὰ τύμβον
because of-Amphitryon glorious by tomb
Καδμεῖοί νιν οὐκ ἀέκοντες ἄνθεσι μίγνυον,
the-Cadmeians him not unwilling with-flowers decked

Αἰγίνας ἕκατι. φίλοισι γὰρ φίλος ἐλθὼν
Aegina for-the-sake-of to-friends for friend coming
ξένιον ἄστυ κατέδρακεν
hospitable city he-looked-down-on
Ἡρακλέος ὀλβίαν πρὸς αὐλάν.
of-Heracles blessed to court

σὺν ᾧ ποτε Τρωΐαν κραταιὸς Τελαμὼν
with whom once Troy mighty Telamon
πόρθησε καὶ Μέροπας
sacked and the-Meropes
καὶ τὸν μέγαν πολεμιστὰν ἔκπαγλον Ἀλκυονῆ,
and the great warrior terrible Alcyoneus
οὐ τετραορίας γε πρὶν δυώδεκα πέτρῳ
not four-horse-teams indeed before twelve with-rock
ἥρωάς τ' ἐπεμβεβαῶτας ἱπποδάμους ἕλεν
heroes and riding-upon horse-taming he-took
δὶς τόσους. ἀπειρομάχας ἐών κε φανείη
twice as-many inexperienced-in-battle being — he-would-appear
λόγον ὁ μὴ συνιείς· ἐπεὶ
the-word who not understands since
" Ῥέζοντά τι καὶ παθεῖν ἔοικεν."
Doing something also to-suffer is-fitting

τὰ μακρὰ δ' ἐξενέπειν ἐρύκει με τεθμὸς
the long-things and to-tell-out restrains me rule
ὥραί τ' ἐπειγόμεναι·
hours and hastening

ἴϋγγι δ' ἕλκομαι ἦτορ νουμηνίᾳ θιγέμεν.
by-the-wryneck and I-am-drawn in-heart at-new-moon to-touch
ἔμπα, καίπερ ἔχει βαθεῖα ποντιὰς ἅλμα
nevertheless although holds deep sea brine
μέσσον, ἀντίτειν' ἐπιβουλίᾳ· σφόδρα δόξομεν
middle resist the-plot greatly we-shall-seem
δαΐων ὑπέρτεροι ἐν φάει καταβαίνειν·
than-enemies higher in light to-come-down
φθονερὰ δ' ἄλλος ἀνὴρ βλέπων
envious and other man looking
γνώμαν κενεὰν σκότῳ κυλίνδει
thought empty in-darkness rolls

χαμαὶ πετοῖσαν· ἐμοὶ δ' ὁποίαν ἀρετὰν
on-the-ground falling for-me and what-kind excellence
ἔδωκε πότμος ἄναξ,
gave destiny lord
εὖ οἶδ' ὅτι χρόνος ἕρπων πεπρωμέναν τελέσει.
well I-know that time creeping fated will-fulfill
ἐξύφαινε, γλυκεῖα, καὶ τόδ' αὐτίκα, φόρμιγξ,
weave-out sweet also this at-once lyre
Λυδίᾳ σὺν ἁρμονίᾳ μέλος πεφιλημένον
Lydian with mode song dear
Οἰνώνᾳ τε καὶ Κύπρῳ, ἔνθα Τεῦκρος ἀπάρχει
to-Oenone both and to-Cyprus where Teucer rules-far-off
ὁ Τελαμωνιάδας· ἀτὰρ
— son-of-Telamon but
Αἴας Σαλαμῖν' ἔχει πατρῴαν·
Ajax Salamis holds ancestral

ἐν δ' Εὐξείνῳ πελάγει φαεννὰν Ἀχιλεὺς
in and Euxine sea bright Achilles
νᾶσον· Θέτις δὲ κρατεῖ
island Thetis and rules
Φθίᾳ· Νεοπτόλεμος δ' Ἀπείρῳ διαπρυσίᾳ,
in-Phthia Neoptolemus and in-Epirus far-reaching
βουβόται τόθι πρῶνες ἔξοχοι κατάκεινται
ox-grazing where headlands eminent slope-down
Δωδώναθεν ἀρχόμενοι πρὸς Ἰόνιον πόρον.
from-Dodona beginning to Ionian strait
Παλίου δὲ πὰρ ποδὶ λατρείαν Ἰαωλκὸν
of-Pelion and by foot in-subjection Iolcus
πολεμίᾳ χερὶ προστραπὼν
with-hostile hand turning
Πηλεὺς παρέδωκεν Αἱμόνεσσιν
Peleus handed-over to-the-Haemones

δάμαρτος Ἱππολύτας Ἄκαστος δολίαις
of-his-wife Hippolyta Acastus crafty
τέχναισι χρησάμενος·
arts having-used
τᾷ Δαιδάλου τε μαχαίρᾳ φύτευέ οἱ θάνατον
with-the of-Daedalus and sword he-plotted for-him death
ἐκ λόχου, Πελίαο παῖς· ἄλαλκε δὲ Χείρων,
from ambush of-Pelias son warded-off but Chiron
καὶ τὸ μόρσιμον Διόθεν πεπρωμένον ἔκφερεν·
and the doom from-Zeus fated he-carried-out

πῦρ δὲ παγκρατὲς θρασυμαχάνων τε λεόντων
fire and all-conquering of-bold-devising and lions
ὄνυχας ὀξυτάτους ἀκμὰν
claws sharpest the-edge
τε δεινοτάτων σχάσαις ὀδόντων
and of-most-terrible checking teeth

ἔγαμεν ὑψιθρόνων μίαν Νηρεΐδων,
he-married of-high-throned one Nereids
εἶδεν δ' εὔκυκλον ἕδραν,
saw and well-circled seat
τᾶς οὐρανοῦ βασιλῆες πόντου τ' ἐφεζόμενοι
on-which of-sky kings of-sea and sitting
δῶρα καὶ κράτος ἐξέφαναν ἐγγενὲς αὐτῷ.
gifts and power revealed inborn for-him
Γαδείρων τὸ πρὸς ζόφον οὐ περατόν· ἀπότρεπε
of-Gades the toward darkness not passable turn-back
αὖτις Εὐρώπαν ποτὶ χέρσον ἔντεα ναός·
again Europe toward land the-tackle of-the-ship
ἄπορα γὰρ λόγον Αἰακοῦ
impossible for the-story of-Aeacus
παίδων τὸν ἅπαντά μοι διελθεῖν.
of-the-sons the whole for-me to-go-through

Θεανδρίδαισι δ' ἀεξιγυίων ἀέθλων
for-the-Theandridae and of-limb-strengthening contests
κάρυξ ἑτοῖμος ἔβαν
herald ready I-came
Οὐλυμπίᾳ τε καὶ Ἰσθμοῖ Νεμέᾳ τε συνθέμενος,
at-Olympia both and at-Isthmus at-Nemea and having-agreed
ἔνθα πεῖραν ἔχοντες οἴκαδε κλυτοκάρπων
where trial having homeward glorious-fruited
οὐ νέοντ' ἄνευ στεφάνων, πάτραν ἵν' ἀκούομεν,
not they-return without crowns fatherland where we-hear
Τιμάσαρχε, τεὰν ἐπινικίοισιν ἀοιδαῖς
Timasarchus your for-victory songs
πρόπολον ἔμμεναι. εἰ δέ τοι
servant to-be if and you-know
μάτρῳ μ' ἔτι Καλλικλεῖ κελεύεις
for-your-uncle me still Callicles you-bid

στάλαν θέμεν Παρίου λίθου λευκοτέραν·
pillar to-set than-Parian stone whiter
ὁ χρυσὸς ἑψόμενος
the gold refined
αὐγὰς ἔδειξεν ἁπάσας, ὕμνος δὲ τῶν ἀγαθῶν
rays shows all hymn and of-the good
ἐργμάτων βασιλεῦσιν ἰσοδαίμονα τεύχει
deeds to-kings equal-in-fortune makes

φῶτα· κεῖνος ἀμφ' Ἀχέροντι ναιετάων ἐμὰν
a-man he by Acheron dwelling my
γλῶσσαν εὑρέτω κελαδῆτιν, Ὀρσοτριαίνα
tongue let-find resounding of-the-Trident-Wielder
ἵν' ἐν ἀγῶνι βαρυκτύπου
where in contest of-the-loud-thundering
θάλησε Κορινθίοις σελίνοις·
he-flourished with-Corinthian parsley

τὸν Εὐφάνης ἐθέλων γεραιὸς προπάτωρ
whom Euphanes willing aged forefather
σὸς ἄεισέν ποτε, παῖ.
your sang once boy
ἄλλοισι δ' ἄλικες ἄλλοι· τὰ δ' αὐτὸς ἄν τις ἴδῃ,
to-others and age-mates others what and himself — anyone sees
ἔλπεταί τις ἕκαστος ἐξοχώτατα φάσθαι.
hopes one each most-eminently to-tell
οἷον αἰνέων κε Μελησίαν ἔριδα στρέφοι,
how praising — Melesias strife he-would-twist
ῥήματα πλέκων, ἀπάλαιστος ἐν λόγῳ ἕλκειν,
words weaving unthrowable in word to-drag
μαλακὰ μὲν φρονέων ἐσλοῖς,
gentle indeed minded to-the-good
τραχὺς δὲ παλιγκότοις ἔφεδρος.
rough but for-the-resentful a-waiting-rival

ΠΥΘΕΑ ΑΙΓΙΝΗΤΗ ΑΓΕΝΕΙΩ ΠΑΓΚΡΑΤΙΑΣΤΗ

V · FOR PYTHEAS OF AEGINA

The poet is not a sculptor of statues that stand still: his song sails everywhere to proclaim Pytheas, victor in the pancratium. He tells of the Aeacidae, will not say what god drove them from Oenone, and sings how the Muses on Pelion told of Peleus' chastity when Hippolyta tried to seduce him and Zeus rewarded him with Thetis. He praises Pytheas' uncle Euthymenes, the trainer Menander, and Themistius, who won twice at Epidaurus.

Οὐκ ἀνδριαντοποιός εἰμ', ὥστ' ἐλινύσοντα
Not statue-maker I-am so-as to-rest
ἐργάζεσθαι ἀγάλματ' ἐπ' αὐτᾶς βαθμίδος
to-make images on its-own base
ἑσταότ'· ἀλλ' ἐπὶ πάσας ὁλκάδος ἔν τ' ἀκάτῳ, γλυκεῖ' ἀοιδά,
standing but on every merchant-ship in and boat sweet song
στεῖχ' ἀπ' Αἰγίνας, διαγγέλλοισ', ὅτι
go from Aegina announcing that
Λάμπωνος υἱὸς Πυθέας εὐρυσθενὴς
of-Lampon son Pytheas wide-mighty
νίκη Νεμείοις παγκρατίου στέφανον, 5
won at-the-Nemean-games of-the-pancratium crown
οὔπω γένυσι φαίνων τέρειναν ματέρ' οἰνάνθας ὀπώραν,
not-yet on-cheeks showing tender mother of-the-vine-blossom summer

ἐκ δὲ Κρόνου καὶ Ζηνὸς ἥρωας αἰχματὰς
from and Cronus and Zeus heroes spearmen
φυτευθέντας καὶ ἀπὸ χρυσεᾶν Νηρηΐδων
sprung and from golden Nereids
Αἰακίδας ἐγέραιρεν ματρόπολίν τε, φίλαν ξένων ἄρουραν·
the-Aeacidae he-honored mother-city and dear to-strangers field
τάν ποτ᾽ εὔανδρόν τε καὶ ναυσικλυτὰν
which once brave-manned both and famed-for-ships
θέσσαντο πὰρ βωμὸν πατέρος Ἑλλανίου
they-prayed-for beside altar of-father Hellenian
στάντες, πίτναν τ᾽ εἰς αἰθέρα χεῖρας ἁμᾷ
standing spread and to sky hands together
Ἐνδαΐδος ἀριγνῶτες υἱοὶ καὶ βία Φώκου κρέοντος,
of-Endais famous sons and the-might of-Phocus ruling

ὁ τᾶς θεοῦ, ὃν Ψαμάθεια τίκτ᾽ ἐπὶ ῥηγμῖνι πόντου.
he of-the goddess whom Psamatheia bore on beach of-sea
αἰδέομαι μέγα εἰπεῖν ἐν δίκᾳ τε μὴ κεκινδυνευμένον,
I-shrink great to-say in justice and not hazarded
πῶς δὴ λίπον εὐκλέα νᾶσον, καὶ τίς ἄνδρας ἀλκίμους
how indeed they-left glorious island and what men valiant
δαίμων ἀπ᾽ Οἰνώνας ἔλασεν. στάσομαι·
god from Oenone drove I-will-stop
οὔ τοι ἅπασα κερδίων
not you-know all more-profitable
φαίνοισα πρόσωπον ἀλάθει᾽ ἀτρεκής·
showing face truth exact
καὶ τὸ σιγᾶν πολλάκις ἐστὶ σοφώτατον ἀνθρώπῳ νοῆσαι.
and the being-silent often is wisest for-man to-perceive

εἰ δ' ὄλβον ἢ χειρῶν βίαν ἢ σιδαρίταν
if and wealth or of-hands might or iron
ἐπαινῆσαι πόλεμον δεδόκηται, μακρά μοι
to-praise war is-resolved long for-me
αὐτόθεν ἅλμαθ' ὑποσκάπτοι τις· ἔχω γονάτων ἐλαφρὸν ὁρμάν·
from-here leaps let-dig anyone I-have of-knees light spring
καὶ πέραν πόντοιο πάλλοντ' αἰετοί.
even across the-sea spring eagles
πρόφρων δὲ καὶ κείνοις ἄειδ' ἐν Παλίῳ
gladly and also for-them sang on Pelion
Μοισᾶν ὁ κάλλιστος χορός, ἐν δὲ μέσαις
of-the-Muses the fairest chorus in and midst
φόρμιγγ' Ἀπόλλων ἑπτάγλωσσον χρυσέῳ πλάκτρῳ διώκων
lyre Apollo seven-tongued with-golden plectrum plying

ἀγεῖτο παντοίων νόμων· αἱ δὲ πρώτιστον μὲν
led of-all-kinds strains they and first indeed
ὕμνησαν Διὸς ἀρχόμεναι σεμνὰν Θέτιν
hymned from-Zeus beginning holy Thetis
Πηλέα θ', ὥς τέ νιν ἁβρὰ Κρηθεΐς Ἱππολύτα δόλῳ πεδᾶσαι
Peleus and how — him delicate daughter-of-Cretheus Hippolyta by-guile to-fetter
ἤθελε ξυνᾶνα Μαγνήτων σκοπὸν
wished partner of-the-Magnesians the-watcher
πείσαισ' ἀκοίταν ποικίλοις βουλεύμασιν,
having-persuaded husband with-intricate counsels
ψεύσταν δὲ ποιητὸν συνέπαξε λόγον,
false and made-up compounded story
ὡς ἆρα νυμφείας ἐπείρα κεῖνος ἐν λέκτροις Ἀκάστου
that then bridal tried he in bed of-Acastus

εὐνᾶς. τὸ δ' ἐναντίον ἔσκεν· πολλὰ γάρ νιν παντὶ θυμῷ
bed the but contrary was much for him with-all heart
παρφαμένα λιτάνευεν· τοῦ δὲ ὀργὰν κνίζον αἰπειναὶ λόγοι·
coaxing she-entreated him and the-temper provoked steep words
εὐθὺς δ' ἀπανάνατο νύμφαν, ξεινίου πατρὸς χόλον
at-once and he-refused the-bride of-guest-protecting father wrath
δείσαις· ὁ δ' ἐφράσθη κατένευσέν τέ οἱ ὀρσινεφὴς ἐξ οὐρανοῦ
fearing he and took-heed nodded and to-him cloud-rousing from heaven
Ζεὺς ἀθανάτων βασιλεύς, ὥστ' ἐν τάχει
Zeus of-the-immortals king so-that in speed
ποντίαν χρυσαλακάτων τινὰ Νηρεΐδων πράξειν ἄκοιτιν,
sea-dwelling of-golden-spindled one the-Nereids to-win as-wife

γαμβρὸν Ποσειδάωνα πείσαις, ὃς Αἰγᾶθεν
in-law Poseidon persuading who from-Aegae
ποτὶ κλειτὰν θαμὰ νίσσεται Ἰσθμὸν Δωρίαν·
to famous often goes Isthmus Dorian
ἔνθα μιν εὔφρονες ἵλαι σὺν καλάμοιο βοᾷ θεὸν δέκονται,
where him joyous bands with of-the-reed cry the-god receive
καὶ σθένει γυίων ἐρίζοντι θρασεῖ.
and with-strength of-limbs vie bold
πότμος δὲ κρίνει συγγενὴς ἔργων περὶ
destiny and decides inborn deeds about
πάντων. τὺ δ' Αἰγίναθε δίς, Εὐθύμενες,
all you and from-Aegina twice Euthymenes
Νίκας ἐν ἀγκώνεσσι πίτνων ποικίλων ἔψαυσας ὕμνων.
of-Victory in arms falling intricate you-touched hymns

ἤτοι μεταΐξαντα καὶ νῦν τεὸς μάτρως
truly following-after even now your uncle
ἀγάλλει κείνου ὁμόσπορον ἔθνος, Πυθέα.
glorifies his same-sown race Pytheas
ἁ Νεμέα μὲν ἄραρεν μείς τ' ἐπιχώριος, ὃν φίλησ' Ἀπόλλων·
the Nemea indeed is-fitted month and native which loved Apollo
ἅλικας δ' ἐλθόντας οἴκοι τ' ἐκράτεις
age-mates and coming at-home and you-overcame
Νίσου τ' ἐν εὐαγκεῖ λόφῳ. χαίρω δ', ὅτι
of-Nisus and in well-glenned hill I-rejoice and because
ἐσλοῖσι μάρναται πέρι πᾶσα πόλις.
the-good strives about every city
ἴσθι, γλυκεῖάν τοι Μενάνδρου σὺν τύχᾳ μόχθων ἀμοιβὰν
know sweet you-know of-Menander with fortune of-toils requital

ἐπαύρεο· χρὴ δ' ἀπ' Ἀθανᾶν τέκτον' ἀθληταῖσιν ἔμμεν.
you-have-won it-is-needful and from Athens a-trainer for-athletes to-be
εἰ δὲ Θεμίστιον ἵκεις, ὥστ' ἀείδειν, μηκέτι ῥίγει· δίδοι
if and Themistius you-come-to so-as to-sing no-longer shiver give
φωνάν, ἀνὰ δ' ἱστία τεῖνον πρὸς ζυγὸν καρχασίου,
voice up and sails stretch to yard of-the-masthead
πύκταν τέ νιν καὶ παγκρατίῳ φθέγξαι
boxer and him and in-pancratium proclaim
ἐλεῖν Ἐπιδαύρῳ διπλόαν
to-have-won at-Epidaurus double
νικῶντ' ἀρετάν, προθύροισιν δ' Αἰακοῦ
winning excellence to-the-porch and of-Aeacus
ἀνθέων ποιάεντα φέρε στεφανώματα σὺν ξανθαῖς Χάρισσιν.
of-flowers grassy bring crowns with tawny Graces

ΑΛΚΙΜΙΔΗ ΑΙΓΙΝΗΤΗ ΠΑΙΔΙ ΠΑΛΑΙΣΤΗ

VI · FOR ALCIMIDAS OF AEGINA

Men and gods are of one mother but differ in power, though men resemble gods in mind or nature. Alcimidas, a boy wrestler, shows the family's alternating fortune, like fields that rest and bear. The poet praises the Bassidae's many victories and the Aeacidae, whose fame reaches the Ethiopians. He regrets that chance robbed the boy of two Olympic crowns. Their trainer Melesias is swift as a dolphin.

Ἓν ἀνδρῶν, ἓν θεῶν γένος· ἐκ μιᾶς δὲ πνέομεν
One of-men one of-gods race from one and we-breathe
ματρὸς ἀμφότεροι· διείργει δὲ πᾶσα κεκριμένα
mother both divides and all distinct
δύναμις, ὡς τὸ μὲν οὐδέν, ὁ δὲ χάλκεος ἀσφαλὲς αἰὲν ἕδος
power so-that the indeed nothing the and brazen secure always seat
μένει οὐρανός. ἀλλά τι προσφέρομεν ἔμπαν ἢ μέγαν
remains heaven but somewhat we-approach nevertheless either in-great
νόον ἤτοι φύσιν ἀθανάτοις,
mind or in-nature to-the-immortals
καίπερ ἐφαμερίαν οὐκ εἰδότες οὐδὲ μετὰ νύκτας ἄμμε πότμος
although by-day not knowing nor by nights us destiny
οἵαν τιν' ἔγραψε δραμεῖν ποτὶ στάθμαν.
what-kind some has-marked to-run to the-line

τεκμαίρει καί νυν Ἀλκιμίδας τὸ συγγενὲς ἰδεῖν
gives-proof and now Alcimidas the inborn to-see
ἄγχι καρποφόροις ἀρούραισιν, αἵτ' ἀμειβόμεναι
near to-fruitful fields which alternating
τόκα μὲν ὦν βίον ἀνδράσιν ἐπηετανὸν πεδίων ἔδοσαν,
at-one-time indeed then livelihood to-men abundant from-the-plains gave

τόκα δ᾽ αὖτ᾽ ἀναπαυσάμεναι σθένος ἔμαρψαν. ἦλθέ τοι
at-another and again resting strength gathered came you-know
Νεμέας ἐξ ἐρατῶν ἀέθλων
of-Nemea from lovely contests
παῖς ἐναγώνιος, ὃς ταύταν μεθέπων Διόθεν αἶσαν νῦν πέφανται
a-boy contending who this pursuing from-Zeus lot now has-appeared
οὐκ ἄμμορος ἀμφὶ πάλᾳ κυναγέτας,
not without-share in wrestling a-hunter

ἴχνεσιν ἐν Πραξιδάμαντος ἑὸν πόδα νέμων
footprints in of-Praxidamas his foot plying
πατροπάτορος ὁμαιμίου.
grandfather of-one-blood
κεῖνος γὰρ Ὀλυμπιόνικος ἐὼν Αἰακίδαις
he for Olympic-victor being for-the-Aeacidae
ἔρνεα πρῶτος ἔνεικεν ἀπ᾽ Ἀλφεοῦ,
shoots first brought from Alpheus
καὶ πεντάκις Ἰσθμοῖ στεφανωσάμενος,
and five-times at-Isthmus crowned
Νεμέᾳ δὲ τρίς,
at-Nemea and thrice
ἔπαυσε λάθαν
stopped oblivion
Σωκλείδα, ὃς ὑπέρτατος
of-Socleides who highest
Ἀγησιμάχῳ υἱέων γένετο.
to-Hagesimachus of-sons became

ἐπεί οἱ τρεῖς ἀεθλοφόροι πρὸς ἄκρον ἀρετᾶς
since his three prize-winners to the-summit of-excellence
ἦλθον, οἵτε πόνων ἐγεύσαντο. σὺν θεοῦ δὲ τύχᾳ
came who of-toils tasted with of-god and fortune
ἕτερον οὔ τινα οἶκον ἀπεφάνατο πυγμαχία πλεόνων
other not any house proclaimed boxing of-more
ταμίαν στεφάνων μυχῷ Ἑλλάδος ἁπάσας. ἔλπομαι
steward crowns in-the-recess of-Greece all I-hope
μέγα εἰπὼν σκοποῦ ἄντα τυχεῖν
great speaking the-mark facing to-hit
ὥστ' ἀπὸ τόξου ἰείς· εὔθυν' ἐπὶ τοῦτον, ἄγε, Μοῖσα, οὖρον ἐπέων
as from bow shooting direct upon this come Muse breeze of-words
εὐκλέα. παροιχομένων γὰρ ἀνέρων
glorious of-departed for men

ἀοιδαὶ καὶ λόγοι τὰ καλά σφιν ἔργ' ἐκόμισαν,
songs and stories the noble for-them deeds preserved
Βασσίδαισιν ἅ τ' οὐ σπανίζει· παλαίφατος γενεά,
for-the-Bassidae which — not lacks famed-of-old race
ἴδια ναυστολέοντες ἐπικώμια, Πιερίδων ἀρόταις
own shipping victory-songs of-the-Pierides to-plowmen
δυνατοὶ παρέχειν πολὺν ὕμνον ἀγερώχων ἑργμάτων
able to-furnish much hymn proud deeds
ἕνεκεν. καὶ γὰρ ἐν ἁγαθέᾳ
for-the-sake-of and for in holy
χεῖρας ἱμάντι δεθεὶς Πυθῶνι κράτησεν ἀπὸ ταύτας αἶμα πάτρας
hands with-thong bound Pytho won from this blood fatherland
χρυσαλακάτου ποτὲ Καλλίας ἁδὼν
of-the-golden-spindled once Callias pleasing

ἔρνεσι Λατοῦς, παρὰ Κασταλίᾳ τε Χαρίτων
to-the-offspring Leto by Castalia and of-the-Graces
ἑσπέριος ὁμάδῳ φλέγεν·
at-evening in-the-throng blazed
πόντου τε γέφυρ' ἀκάμαντος ἐν ἀμφικτιόνων
of-the-sea and the-bridge unwearying in of-the-neighbors
ταυροφόνῳ τριετηρίδι Κρεοντίδαν
bull-slaying biennial-festival Creontidas
τίμασε Ποσειδάνιον ἂν τέμενος·
honored Poseidon's in precinct
βοτάνα τέ νιν
herb and him
πόθ' ἁ λέοντος
once that of-the-lion
νικάσαντ' ἤρεφε δασκίοις
victorious roofed shady
Φλιοῦντος ὑπ' ὠγυγίοις ὄρεσιν.
of-Phlius under ancient mountains

πλατεῖαι πάντοθεν λογίοισιν ἐντὶ πρόσοδοι
broad from-all-sides for-chroniclers are approaches
νᾶσον εὐκλέα τάνδε κοσμεῖν· ἐπεί σφιν Αἰακίδαι
island glorious this to-adorn since to-them the-Aeacidae
ἔπορον ἔξοχον αἶσαν ἀρετὰς ἀποδεικνύμενοι μεγάλας·
granted eminent lot excellences displaying great

πέταται δ' ἐπί τε χθόνα καὶ διὰ θαλάσσας τηλόθεν
flies and over both earth and across sea from-afar
ὄνυμ' αὐτῶν· καὶ ἐς Αἰθίοπας
name their and to Ethiopians
Μέμνονος οὐκ ἀπονοστήσαντος ἐπᾶλτο·
Memnon not having-returned it-leapt
βαρὺ δέ σφιν νεῖκος Ἀχιλεὺς
heavy and on-them strife Achilles
ἔμβαλε χαμαὶ καταβὰς ἀφ' ἁρμάτων,
struck to-the-ground stepping from chariot

φαεννᾶς υἱὸν εὖτ' ἐνάριξεν Ἀόος ἀκμᾷ
of-bright son when he-slew Dawn with-the-point
ἔγχεος ζακότοιο. καὶ ταύταν μὲν παλαιότεροι
of-spear raging and this indeed older-men
ὁδὸν ἀμαξιτὸν εὗρον· ἔπομαι δὲ καὶ αὐτὸς ἔχων μελέταν·
road highway found I-follow and also myself having care
τὸ δὲ πὰρ ποδὶ ναὸς ἑλισσόμενον αἰεὶ κυμάτων
the and at foot of-the-ship rolling always of-waves
λέγεται παντὶ μάλιστα δονεῖν
is-said every most to-shake
θυμόν. ἑκόντι δ' ἐγὼ νώτῳ μεθέπων
heart on-willing and I back carrying
δίδυμον ἄχθος ἄγγελος ἔβαν,
twofold burden messenger came
πέμπτον ἐπὶ εἴκοσι τοῦτο γαρύων
fifth upon twenty this proclaiming

εὖχος ἀγώνων ἄπο, τοὺς ἐνέποισιν ἱερούς,
boast contests from which they-call sacred
Ἀλκιμίδα, τέ γ' ἐπαρκέσαι
Alcimidas you indeed to-furnish
κλειτᾷ γενεᾷ· δύο μὲν Κρονίου πὰρ τεμένει,
to-famous race two indeed of-Cronian by precinct
παῖ, σέ τ' ἐνόσφισε καὶ Πουλυτιμίδαν
boy you and robbed and Polytimidas
κλᾶρος προπετὴς ἄνθε' Ὀλυμπιάδος. 65
lot headlong of-the-flowers of-the-Olympiad
δελφῖνί κεν
to-a-dolphin —
τάχος δι' ἅλμας
in-speed through brine
ἴσον εἴποιμι Μελησίαν,
equal I-would-call Melesias
χειρῶν τε καὶ ἰσχύος ἀνίοχον.
of-hands both and of-strength charioteer

ΣΩΓΕΝΕΙ ΑΙΓΙΝΗΤΗ̣ ΠΑΙΔΙ ΠΕΝΤΑΘΛΩ̣

VII · FOR SOGENES OF AEGINA

The poet invokes Eleithyia and praises Sogenes, Thearion's son, victor in the pentathlon. Deeds without song are lost. Homer made Odysseus greater than his sufferings, and the crowd's blindness drove Ajax to his death. Neoptolemus, killed at Delphi in a quarrel over meat, lies there as a hero. The poet prays to Heracles for Sogenes and his father Thearion, denies that he slandered Neoptolemus, and ends that saying the same thing over is tiresome.

Ἐλείθυια, πάρεδρε Μοιρᾶν βαθυφρόνων,
Eleithyia sitting-beside of-the-Fates deep-minded
παῖ μεγαλοσθενέος, ἄκουσον, Ἥρας,
child of-the-mighty hear Hera
γενέτειρα τέκνων· ἄνευ σέθεν
begetter of-children without you
οὐ φάος, οὐ μέλαιναν δρακέντες εὐφρόναν
not light not black having-seen night
τεὰν ἀδελφεὰν ἐλάχομεν ἀγλαόγυιον Ἥβαν.
your sister we-get splendid-limbed Youth
ἀναπνέομεν δ' οὐχ ἅπαντες ἐπὶ ἴσα·
we-breathe and not all for equal-things
εἴργει δὲ πότμῳ ζυγέν θ' ἕτερον ἕτερα. σὺν δὲ τὶν
restrains and with-destiny yoked one another-things with and you
καὶ παῖς ὁ Θεαρίωνος ἀρετᾷ κριθεὶς
also son the of-Thearion by-excellence distinguished
εὔδοξος ἀείδεται Σωγένης μετὰ πενταέθλοις.
glorious is-sung Sogenes among pentathletes

πόλιν γὰρ φιλόμολπον οἰκεῖ δορικτύπων
city for song-loving he-dwells-in of-spear-clashing
Αἰακιδᾶν· μάλα δ' ἐθέλοντι σύμπειρον ἀγωνίᾳ θυμὸν ἀμφέπειν.
the-Aeacidae greatly and they-wish experienced in-contest heart to-tend
εἰ δὲ τύχῃ τις ἔρδων, μελίφρον' αἰτίαν
if and succeeds one doing honey-minded cause
ῥοαῖσι Μοισᾶν ἐνέβαλε· ταὶ μεγάλαι γὰρ ἀλκαὶ
into-streams of-the-Muses he-casts the great for deeds-of-valor
σκότον πολὺν ὕμνων ἔχοντι δεόμεναι·
darkness much of-hymns have lacking
ἔργοις δὲ καλοῖς ἔσοπτρον ἴσαμεν ἑνὶ σὺν τρόπῳ,
for-deeds and noble a-mirror we-know one with way
εἰ Μναμοσύνας ἕκατι λιπαράμπυκος
if Mnemosyne by-favor-of the-shining-filleted
εὕρηται ἄποινα μόχθων κλυταῖς ἐπέων ἀοιδαῖς.
is-found a-recompense for-toils in-glorious of-words songs

σοφοὶ δὲ μέλλοντα τριταῖον ἄνεμον
the-wise and coming on-the-third-day wind
ἔμαθον, οὐδ' ὑπὸ κέρδει βλάβεν·
know nor by gain are-harmed
ἀφνεὸς πενιχρός τε θανάτου πέρας
rich poor and of-death to-the-boundary
ἅμα νέονται. ἐγὼ δὲ πλέον' ἔλπομαι
together go I and greater I-think
λόγον Ὀδυσσέος ἢ πάθαν
the-story of-Odysseus than the-suffering
διὰ τὸν ἁδυεπῆ γενέσθ' Ὅμηρον·
through — sweet-voiced to-have-become Homer

ἐπεὶ ψεύδεσί οἱ ποτανᾷ τε μαχανᾷ
since on-falsehoods his winged and device
σεμνὸν ἔπεστί τι· σοφία δὲ κλέπτει
majesty lies-upon some skill and deceives
παράγοισα μύθοις· τυφλὸν δ' ἔχει
misleading with-tales blind and has
ἦτορ ὅμιλος ἀνδρῶν ὁ πλεῖστος. εἰ γὰρ ἦν
heart the-throng of-men the greatest if for it-were-possible
ἐς τὰν ἀλάθειαν ἰδέμεν, οὔ κεν ὅπλων χολωθεὶς
for-it the truth to-see not — for-the-arms enraged
ὁ καρτερὸς Αἴας ἔπαξε διὰ φρενῶν
— mighty Ajax would-have-fixed through his-heart
λευρὸν ξίφος· ὃν κράτιστον Ἀχιλέος ἄτερ μάχᾳ
smooth sword whom mightiest Achilles except in-battle
ξανθῷ Μενέλᾳ δάμαρτα κομίσαι θοαῖς
for-tawny Menelaus the-wife to-bring swift
ἐν ναυσὶ πόρευσαν εὐθυπνόου Ζεφύροιο πομπαὶ
in ships conveyed of-straight-blowing Zephyr escorts

πρὸς Ἴλου πόλιν. ἀλλὰ κοινὸν γὰρ ἔρχεται
to of-Ilus city but common for comes
κῦμ᾽ Ἀΐδα, πέσε δ᾽ ἀδόκητον ἐν καὶ δοκέοντα· τιμὰ δὲ γίνεται
wave of-Hades falls and unexpected on also the-expecting honor and comes
ὧν θεὸς ἁβρὸν αὔξει λόγον τεθνακότων
for-whom god gentle increases word of-the-dead
βοαθόων, τοὶ παρὰ μέγαν ὀμφαλὸν εὐρυκόλπου
of-helpers who by great navel of-broad-bosomed
μόλον χθονός· ἐν Πυθίοισι δὲ δαπέδοις
came earth in Pythian and grounds
κεῖται, Πριάμου πόλιν Νεοπτόλεμος ἐπεὶ πράθεν,
he-lies of-Priam city Neoptolemus when sacked
τᾷ καὶ Δαναοὶ πόνησαν· ὁ δ᾽ ἀποπλέων
in-which also the-Danaans toiled he and sailing-away
Σκύρου μὲν ἅμαρτε, πλαγχθέντες δ᾽ εἰς Ἐφύραν ἵκοντο·
Scyros indeed missed wandering and to Ephyra they-came

Μολοσσίᾳ δ᾽ ἐμβασίλευεν ὀλίγον
over-Molossia and he-was-king brief
χρόνον· ἀτὰρ γένος αἰεὶ φέρεν
time but his-race always bore
τοῦτό οἱ γέρας. ᾧχετο δὲ πρὸς θεόν,
this his prize went and to the-god
κτέαν᾽ ἄγων Τρωΐαθεν ἀκροθινίων·
possessions bringing from-Troy of-first-fruits
ἵνα κρεῶν νιν ὑπὲρ μάχας ἔλασεν ἀντιτυχόντ᾽ ἀνὴρ μαχαίρᾳ.
where of-meats him over a-fight struck meeting a-man with-a-knife

βάρυνθεν δὲ περισσὰ Δελφοὶ ξεναγέται.
were-grieved and exceedingly the-Delphians the-guest-receivers
ἀλλὰ τὸ μόρσιμον ἀπέδωκεν· ἐχρῆν δέ
but the doom he-paid it-was-needful and
τιν' ἔνδον ἄλσει παλαιτάτῳ
one within the-grove most-ancient
Αἰακιδᾶν κρεόντων τὸ λοιπὸν ἔμμεναι
of-the-Aeacidae lords the future to-be
θεοῦ παρ' εὐτειχέα δόμον, ἡρωΐαις δὲ πομπαῖς
of-the-god by well-walled house over-heroic and processions
θεμισκόπον οἰκεῖν ἐόντα πολυθύτοις.
overseer-of-rites to-dwell being with-many-sacrifices
εὐώνυμον ἐς δίκαν τρία ἔπεα διαρκέσει·
well-named for justice three words will-suffice
οὐ ψεῦδις ὁ μάρτυς ἔργμασιν ἐπιστατεῖ,
not false the witness over-deeds presides
Αἴγινα, τεῶν Διός τ' ἐκγόνων. θρασύ μοι τόδ' εἰπεῖν
Aegina of-your of-Zeus and descendants bold for-me this to-say

φαενναῖς ἀρεταῖς ὁδὸν κυρίαν λόγων
for-bright excellences road sovereign of-words
οἴκοθεν· ἀλλὰ γὰρ ἀνάπαυσις ἐν παντὶ
from-home but for rest in every
γλυκεῖα ἔργῳ· κόρον δ' ἔχει
sweet deed satiety and has
καὶ μέλι καὶ τὰ τέρπν' ἄνθε' Ἀφροδίσια.
even honey and the delightful flowers Aphrodite's
φυᾷ δ' ἕκαστος διαφέρομεν βιοτὰν λαχόντες,
by-nature and each we-differ life having-gotten

ὁ μὲν τά, τὰ δ' ἄλλοι· τυχεῖν δ' ἕν' ἀδύνατον
one indeed these-things those-things and others to-win and one impossible
εὐδαιμονίαν ἅπασαν ἀνελόμενον· οὐκ ἔχω
happiness whole having-taken-up not I-can
εἰπεῖν, τίνι τοῦτο Μοῖρα τέλος ἔμπεδον
say to-whom this Fate end firm
ὥρεξε. Θεαρίων, τὶν δ' ἐοικότα καιρὸν ὄλβου
has-held-out Thearion to-you and fitting due-measure of-prosperity

δίδωσι, τόλμαν τε καλῶν ἀρομένῳ
she-gives daring and of-noble-things for-one-who-has-won
σύνεσιν οὐκ ἀποβλάπτει φρενῶν.
understanding not she-harms of-mind
ξεῖνός εἰμι· σκοτεινὸν ἀπέχων ψόγον,
a-guest I-am dark keeping-off blame
ὕδατος ὥτε ῥοὰς φίλον ἐς ἄνδρ' ἄγων
of-water like streams dear to man bringing
κλέος ἐτήτυμον αἰνέσω· ποτίφορος δ' ἀγαθοῖσι μισθὸς οὗτος.
fame genuine I-will-praise fitting and for-the-good reward this

ἐὼν δ' ἐγγὺς Ἀχαιὸς οὐ μέμψεταί μ' ἀνὴρ
being and near an-Achaean not will-blame me man
Ἰονίας ὑπὲρ ἁλὸς οἰκέων· προξενίᾳ πέποιθ'· ἔν τε δαμόταις
Ionian beyond sea dwelling in-guest-friendship I-trust among and townsmen
ὄμματι δέρκομαι λαμπρόν, οὐχ ὑπερβαλών,
with-eye I-look bright not overstepping

βίαια πάντ᾽ ἐκ ποδὸς ἐρύσαις, ὁ δὲ λοιπὸς εὔφρων
violent-things all from foot having-dragged the and rest kindly
ποτὶ χρόνος ἔρποι. μαθὼν δέ τις ἀνερεῖ,
to time may-come knowing and anyone will-declare
εἰ πὰρ μέλος ἔρχομαι ψόγιον ὄαρον ἐννέπων.
if beyond tune I-come censorious speech telling
Εὐξενίδα πάτραθε Σώγενες, ἀπομνύω
Euxenid from-your-fatherland Sogenes I-swear
μὴ τέρμα προβὰς ἄκονθ᾽ ὥτε χαλκοπάραον ὄρσαι
not the-line overstepping javelin like bronze-cheeked to-hurl

θοὰν γλῶσσαν, ὃς ἐξέπεμψεν παλαισμάτων
swift tongue which sent-out of-wrestlings
αὐχένα καὶ σθένος ἀδίαντον, αἴθωνι πρὶν ἁλίῳ γυῖον ἐμπεσεῖν.
neck and strength unsweated to-the-blazing before sun limb to-fall
εἰ πόνος ἦν, τὸ τερπνὸν πλέον πεδέρχεται.
if toil there-was the delight more follows
ἔα με· νικῶντί γε χάριν, εἴ τι πέραν ἀερθεὶς
let me for-the-victor indeed grace if somewhat beyond lifted-up
ἀνέκραγον, οὐ τραχύς εἰμι καταθέμεν.
I-cried-out not harsh I-am to-pay
εἴρειν στεφάνους ἐλαφρόν· ἀναβάλεο· Μοῖσά τοι
to-string crowns easy strike-up the-Muse you-know
κολλᾷ χρυσὸν ἔν τε λευκὸν ἐλέφανθ᾽ ἁμᾷ
glues gold therein and white ivory together
καὶ λείριον ἄνθεμον ποντίας ὑφελοῖσ᾽ ἐέρσας.
and lily flower of-the-sea having-taken-from dew

Διὸς δὲ μεμναμένος ἀμφὶ Νεμέᾳ
of-Zeus and mindful about Nemea
πολύφατον θρόον ὕμνων δόνει
much-uttered sound of-hymns stir
ἡσυχᾷ. βασιλῆα δὲ θεῶν πρέπει
quietly the-king and of-gods it-befits
δάπεδον ἂν τόδε γαρυέμεν ἁμέρᾳ
ground on this to-sing with-gentle
ὀπί· λέγοντι γὰρ Αἰακόν νιν ὑπὸ ματροδόκοις γοναῖς φυτεῦσαι,
voice they-say for Aeacus him by mother-receiving seed to-have-begotten

ἐμᾷ μὲν πολίαρχον εὐωνύμῳ πάτρᾳ,
for-my indeed city-ruler well-named fatherland
Ἡράκλεες, σέο δὲ προπράον᾽ ἔμεν ξεῖνον
Heracles your and kindly to-be host
ἀδελφεόν τ᾽. εἰ δὲ γεύεται
brother and if and tastes
ἀνδρὸς ἀνήρ τι, φαῖμέν κε γείτον᾽ ἔμμεναι
of-a-man a-man somewhat we-would-say — a-neighbor to-be
νόῳ φιλήσαντ᾽ ἀτενεῖ γείτονι χάρμα πάντων
with-mind loving for-steadfast neighbor a-joy of-all-things
ἐπάξιον· εἰ δ᾽ αὐτὸ καὶ θεὸς ἀνέχοι,
worth if and this also god should-uphold
ἐν τίν κ᾽ ἐθέλοι, Γίγαντας ὃς ἐδάμασας, εὐτυχῶς
in you — he-would-wish the-Giants who subdued happily
ναίειν πατρὶ Σωγένης ἀταλὸν ἀμφέπων
to-dwell for-his-father Sogenes tender cherishing
θυμὸν προγόνων ἐϋκτήμονα ζαθέαν ἀγυιάν·
heart of-ancestors rich-in-possessions very-holy street

ἐπεὶ τετραόροισιν ὤθ' ἁρμάτων ζυγοῖς
since in-four-horse as of-chariots yokes
ἐν τεμένεσσι δόμον ἔχει τεοῖς, ἀμφοτέρας ἰὼν χειρός. ὦ μάκαρ,
in precincts house he-has your on-both going hand O blessed
τὶν δ' ἐπέοικεν Ἥρας πόσιν τε πειθέμεν
for-you and it-befits of-Hera the-husband both to-persuade
κόραν τε Γλαυκώπιδα· δύνασαι δὲ βροτοῖσιν ἀλκὰν
the-maiden and Gray-eyed you-are-able and for-mortals strength
ἀμαχανιᾶν δυσβάτων θαμὰ διδόμεν.
from-difficulties impassable often to-give
εἰ γάρ σφισιν ἐμπεδοσθενέα βίοτον ἁρμόσαις
if for for-them steadfast life joining
ἥβᾳ λιπαρῷ τε γήραϊ διαπλέκοις
with-youth shining and old-age you-would-weave
εὐδαίμον' ἐόντα, παίδων δὲ παῖδες ἔχοιεν αἰεὶ
happy being of-children and the-children may-have always

γέρας τό περ νῦν καὶ ἄρειον ὄπιθεν.
the-prize that indeed now and better hereafter
τὸ δ' ἐμὸν οὔ ποτε φάσει κέαρ
the and my not ever will-say heart
ἀτρόποισι Νεοπτόλεμον ἑλκύσαι
with-harsh Neoptolemus to-have-dragged
ἔπεσι· ταὐτὰ δὲ τρὶς τετράκι τ' ἀμπολεῖν
words the-same-things and thrice four-times and to-plow-over
ἀπορία τελέθει, τέκνοισιν ἅτε μαψυλάκας, "Διὸς Κόρινθος."
helplessness is for-children like babbler Zeus's Corinth

ΔΕΙΝΙΑ ΑΙΓΙΝΗΤΗ ΔΙΑΥΛΟΔΡΟΜΩ

VIII · FOR DEINIAS OF AEGINA

Youth, herald of Aphrodite, brings both gentle and harsh loves. Such love joined Zeus and Aegina, whose son Aeacus the heroes of Athens and Sparta obeyed. The poet praises the footrace victories of Deinias and his father Megas, now dead. Envy destroyed Ajax when the Greeks gave the golden armor to Odysseus by secret vote. The poet prays to keep a straight path, praise what deserves praise, and blame wrongdoers. He cannot bring Megas back but sets up a song for him.

Ὥρα πότνια, κάρυξ Ἀφροδίτας ἀμβροσιᾶν φιλοτάτων,
Bloom queenly herald of-Aphrodite of-ambrosial loves
ἅτε παρθενηΐοις παίδων τ' ἐφίζοισα γλεφάροις,
who on-maidens' of-boys and sitting eyelids
τὸν μὲν ἁμέροις ἀνάγκας χερσὶ βαστάζεις, ἕτερον δ' ἑτέραις.
one indeed with-gentle of-necessity hands you-carry another and with-other
ἀγαπατὰ δὲ καιροῦ μὴ πλαναθέντα πρὸς ἔργον ἕκαστον
lovely and of-due-measure not wandering in deed each
τῶν ἀρειόνων ἐρώτων ἐπικρατεῖν δύνασθαι. 5
the better loves to-master to-be-able

οἷοι καὶ Διὸς Αἰγίνας τε λέκτρον ποιμένες ἀμφεπόλησαν
such-as also of-Zeus of-Aegina and the-bed shepherds attended
Κυπρίας δώρων· ἔβλαστεν δ' υἱὸς Οἰνώνας βασιλεὺς
of-Cypris of-the-gifts sprang and the-son of-Oenone king
χειρὶ καὶ βουλαῖς ἄριστος. πολλά νιν πολλοὶ λιτάνευον ἰδεῖν.
in-hand and counsels best often him many entreated to-see

ἀβοατὶ γὰρ ἡρώων ἄωτοι περιναιεταόντων
unsummoned for of-the-heroes the-flower dwelling-around
ἤθελον κείνου γε πείθεσθ' ἀναξίαις ἑκόντες,
wished his indeed to-obey commands willingly

οἵ τε κραναὰς ἐν Ἀθάναισιν ἅρμοζον στρατόν,
who both rocky in Athens marshaled host
οἵ τ' ἀνὰ Σπάρταν Πελοπιϊάδαι.
who and in Sparta descendants-of-Pelops
ἱκέτας Αἰακοῦ σεμνῶν γονάτων πόλιός θ' ὑπὲρ φίλας
suppliant of-Aeacus holy knees city and for dear
ἀστῶν θ' ὑπὲρ τῶνδ' ἅπτομαι φέρων
citizens and for these I-clasp bringing
Λυδίαν μίτραν καναχηδὰ πεποικιλμέναν,
Lydian fillet resoundingly embroidered
Δείνιος δισσῶν σταδίων καὶ πατρὸς Μέγα Νεμεαῖον ἄγαλμα.
of-Deinias of-double stadium-races and the-father Megas Nemean ornament
σὺν θεῷ γάρ τοι φυτευθεὶς ὄλβος ἀνθρώποισι παρμονώτερος·
with god for you-know planted prosperity for-men more-lasting

ὅσπερ καὶ Κινύραν ἔβρισε πλούτῳ ποντίᾳ ἔν ποτε Κύπρῳ.
which also Cinyras laded with-wealth sea-girt in once Cyprus
ἵσταμαι δὴ ποσσὶ κούφοις, ἀμπνέων τε πρίν τι φάμεν.
I-stand indeed with-feet light breathing and before anything to-say

πολλὰ γὰρ πολλᾷ λέλεκται· νεαρὰ δ’
much for in-many-ways has-been-told new-things and
ἐξευρόντα δόμεν βασάνῳ
having-found to-give to-the-touchstone
ἐς ἔλεγχον, ἅπας κίνδυνος· ὄψον δὲ λόγοι φθονεροῖσιν·
for testing all danger relish and words for-the-envious
ἅπτεται δ’ ἐσλῶν ἀεί, χειρόνεσσι δ’ οὐκ ἐρίζει.
fastens-on and the-good always with-worse and not it-strives

κεῖνος καὶ Τελαμῶνος δάψεν υἱὸν φασγάνῳ ἀμφικυλίσαις.
it also of-Telamon devoured the-son on-sword rolling-him
ἦ τιν’ ἄγλωσσον μέν, ἦτορ δ’ ἄλκιμον, λάθα κατέχει
truly one tongueless indeed in-heart but valiant oblivion holds-down
ἐν λυγρῷ νείκει· μέγιστον δ’ αἰόλῳ ψεύδει γέρας ἀντέταται.
in grievous strife greatest and to-shifting falsehood prize is-held-out
κρυφίαισι γὰρ ἐν ψάφοις Ὀδυσσῆ Δαναοὶ θεράπευσαν·
secret for in votes Odysseus the-Danaans served
χρυσέων δ’ Αἴας στερηθεὶς ὅπλων φόνῳ πάλαισεν.
of-golden and Ajax robbed arms with-slaughter wrestled

ἦ μὰν ἀνόμοιά γε δᾳοισιν ἐν θερμῷ χροΐ
truly indeed unlike indeed for-the-enemies in warm flesh
ἕλκεα ῥῆξαν πελεμιζόμενοι
wounds they-tore being-shaken
ὑπ’ ἀλεξιμβρότῳ λόγχᾳ, τὰ μὲν ἀμφ’ Ἀχιλεῖ νεοκτόνῳ,
under man-defending spear some indeed around Achilles newly-slain

ἄλλων τε μόχθων ἐν πολυφθόροις
of-other and toils in many-destroying
ἁμέραις. ἐχθρὰ δ' ἄρα πάρφασις ἦν καὶ πάλαι,
days hateful and then misrepresentation was also of-old
αἱμύλων μύθων ὁμόφοιτος, δολοφραδής, κακοποιὸν ὄνειδος·
of-wheedling tales companion crafty mischief-making reproach
ἃ τὸ μὲν λαμπρὸν βιᾶται,
which the indeed bright does-violence-to
τῶν δ' ἀφάντων κῦδος ἀντείνει σαθρόν.
of-the and obscure glory holds-up rotten

35 εἴη μή ποτέ μοι τοιοῦτον ἦθος, Ζεῦ πάτερ, ἀλλὰ κελεύθοις
may-it-be not ever for-me such character Zeus father but to-roads
ἁπλόαις ζωᾶς ἐφαπτοίμαν, θανὼν ὡς παισὶ κλέος
simple of-life may-I-hold-to dying that to-my-children fame
μὴ τὸ δύσφαμον προσάψω. χρυσὸν εὔχονται, πεδίον δ' ἕτεροι
not the ill-sounding I-fasten gold pray-for plain and others
ἀπέραντον· ἐγὼ δ' ἀστοῖς ἁδὼν καὶ χθονὶ γυῖα καλύψαιμ',
boundless I and to-citizens pleasing and in-earth limbs may-I-cover
αἰνέων αἰνητά, μομφὰν δ' ἐπισπείρων ἀλιτροῖς.
praising praiseworthy-things blame and sowing on-wrongdoers

40 αὔξεται δ' ἀρετά, χλωραῖς ἐέρσαις ὡς ὅτε δένδρεον ᾄσσει,
grows and excellence by-green dews as when a-tree shoots-up
ἐν σοφοῖς ἀνδρῶν ἀερθεῖσ' ἐν δικαίοις τε πρὸς ὑγρὸν
among wise men lifted among just and to liquid
αἰθέρα. χρεῖαι δὲ παντοῖαι φίλων ἀνδρῶν· τὰ μὲν ἀμφὶ πόνοις
sky needs and all-kinds of-friendly men those indeed in toils

ὑπερώτατα· μαστεύει δὲ καὶ τέρψις ἐν ὄμμασι θέσθαι
highest seeks and also delight in eyes to-set
πιστόν. ὦ Μέγα, τὸ δ' αὖτις τεὰν ψυχὰν κομίξαι
pledge O Megas the and again your soul to-bring-back

οὔ μοι δυνατόν· κενεᾶν δ' ἐλπίδων χαῦνον τέλος·
not for-me possible of-empty and hopes vain the-end
σεῦ δὲ πάτρᾳ Χαριάδαις τ' ἐλαφρὸν
your and for-fatherland for-the-Chariadae and light
ὑπερεῖσαι λίθον Μοισαῖον ἕκατι ποδῶν εὐωνύμων
to-set-up stone Muse-sacred for-the-sake-of feet well-named
δὶς δὴ δυοῖν. χαίρω δὲ πρόσφορον
twice indeed two I-rejoice and fitting
ἐν μὲν ἔργῳ κόμπον ἱείς, ἐπαοιδαῖς δ' ἀνὴρ
on indeed deed a-boast casting with-spells and a-man
νώδυνον καί τις κάματον θῆκεν. ἦν γε μὰν ἐπικώμιος ὕμνος
painless even someone toil made was indeed indeed revel hymn
δὴ πάλαι καὶ πρὶν γενέσθαι τὰν Ἀδράστου
indeed of-old even before to-have-been the of-Adrastus
τάν τε Καδμείων ἔριν.
the and of-the-Cadmeians strife

ΧΡΟΜΙΩ ΑΙΤΝΑΙΩ ΑΡΜΑΤΙ

IX · FOR CHROMIUS OF AETNA

The poet leads the revel from Sicyon to Aetna for Chromius, victor with the chariot. Adrastus founded the games at Sicyon after he fled Argos. He later led the Seven against Thebes, and Zeus split the earth with his thunderbolt to hide Amphiaraus. The poet prays that the Phoenicians may be kept away and praises Chromius' courage at the Helorus. Wealth won with glory is a mortal's limit, and victory is sung over wine.

Κωμάσομεν παρ᾽ Ἀπόλλωνος Σικυώνοθε, Μοῖσαι,
We-shall-revel from Apollo from-Sicyon Muses
τὰν νεοκτίσταν ἐς Αἴτναν, ἔνθ᾽ ἀναπεπταμέναι
the newly-founded to Aetna where flung-open
ξείνων νενίκανται θύραι,
to-strangers are-overcome doors
ὄλβιον ἐς Χρομίου δῶμ᾽. ἀλλ᾽ ἐπέων γλυκὺν ὕμνον πράσσετε.
blessed to of-Chromius house but of-words sweet hymn make
τὸ κρατήσιππον γὰρ ἐς ἅρμ᾽ ἀναβαίνων
the victorious-with-horses for to chariot mounting
ματέρι καὶ διδύμοις παίδεσσιν αὐδὰν μανύει
for-the-mother and twin children a-song declares
Πυθῶνος αἰπεινᾶς ὁμοκλάροις ἐπόπταις.
of-Pytho steep co-allotted overseers

ἔστι δέ τις λόγος ἀνθρώπων, τετελεσμένον ἐσλὸν
there-is and some saying of-men accomplished good
μὴ χαμαὶ σιγᾷ καλύψαι· θεσπεσία δ'
not on-the-ground in-silence to-hide divine and
ἐπέων καύχαις ἀοιδὰ πρόσφορος.
of-words for-boasts song fitting
ἀλλ' ἀνὰ μὲν βρομίαν φόρμιγγ', ἀνὰ δ' αὐλὸν ἐπ' αὐτὰν ὄρσομεν
but up indeed loud-sounding lyre up and pipe to very let-us-rouse
ἱππίων ἄθλων κορυφάν, ἅτε Φοίβῳ θῆκεν
of-equestrian contests the-crown which to-Phoebus set
Ἄδραστος ἐπ' Ἀσωποῦ ῥεέθροις· ὧν ἐγὼ
Adrastus at of-Asopus streams of-whom I
μνασθεὶς ἐπασκήσω κλυταῖς ἥρωα τιμαῖς,
mindful will-honor with-glorious the-hero honors

ὃς τότε μὲν βασιλεύων κεῖθι νέαισί θ' ἑορταῖς
who then indeed ruling there with-new and feasts
ἰσχύος τ' ἀνδρῶν ἀμίλλαις ἅρμασί τε
of-strength and of-men rivalries with-chariots and
γλαφυροῖς ἄμφαινε κυδαίνων πόλιν.
polished displayed glorifying the-city
φεῦγε γὰρ Ἀμφιαρῆ ποτε θρασυμήδεα καὶ δεινὰν στάσιν
fled for Amphiaraus once bold-counseled and terrible faction
πατρῴων οἴκων ἀπό τ' Ἄργεος· ἀρχοὶ δ' οὐκ ἔτ'
paternal home from and Argos rulers and no longer
ἔσαν Ταλαοῦ παῖδες, βιασθέντες λύᾳ.
were of-Talaus sons overpowered by-faction
κρέσσων δὲ καππαύει δίκαν τὰν πρόσθεν ἀνήρ.
stronger and makes-cease the-right the former man

ἀνδροδάμαντ᾽ Ἐριφύλαν, ὅρκιον ὡς ὅτε πιστόν,
man-subduing Eriphyle pledge as when faithful
δόντες Οἰκλείδᾳ γυναῖκα, ξανθοκομᾶν
giving to-the-son-of-Oecles as-wife of-the-fair-haired
Δαναῶν ἔσσαν μέγιστοι καί ποτε
Danaans they-were greatest and once
ἐσλὸν ἐς ἑπταπύλους Θήβας ἄγαγον στρατὸν ἀνδρῶν αἰσιᾶν
good to seven-gated Thebes they-led host of-men auspicious
οὐ κατ᾽ ὀρνίχων ὁδόν· οὐδὲ Κρονίων
not along of-birds the-road nor the-son-of-Cronus
ἀστεροπὰν ἐλελίξαις οἴκοθεν μαργουμένους
lightning flashing from-home raging
στείχειν ἐπώτρυν᾽, ἀλλὰ φείσασθαι κελεύθου.
to-go urged but to-refrain from-the-road

φαινομέναν δ᾽ ἄρ᾽ ἐς ἄταν σπεῦδεν ὅμιλος ἱκέσθαι
manifest and then to ruin hastened the-throng to-come
χαλκέοις ὅπλοισιν ἱππείοις τε σὺν ἔντεσιν·
bronze arms horse and with gear
Ἰσμηνοῦ δ᾽ ἐπ᾽ ὄχθαισι γλυκὺν
of-Ismenus and on banks sweet
νόστον ἐρεισάμενοι λευκανθέα σώματ᾽ ἐπίαναν καπνόν·
return having-fixed white-flowering bodies they-fattened smoke
ἑπτὰ γὰρ δαίσαντο πυραὶ νεογυίους φῶτας·
seven for devoured pyres young-limbed men
ὁ δ᾽ Ἀμφιαρῇ σχίσσεν κεραυνῷ παμβίᾳ
he and for-Amphiaraus split with-thunderbolt all-mighty
Ζεὺς τὰν βαθύστερνον χθόνα, κρύψεν δ᾽ ἅμ᾽ ἵπποις,
Zeus the deep-breasted earth hid and together-with horses

δουρὶ Περικλυμένου πρὶν νῶτα τυπέντα μαχατὰν
by-spear of-Periclymenus before back being-struck warrior
θυμὸν αἰσχυνθῆμεν. ἐν γὰρ δαιμονίοισι
heart to-be-shamed in for divine
φόβοις φεύγοντι καὶ παῖδες θεῶν.
panics flee even the-sons of-gods
εἰ δυνατόν, Κρονίων, πεῖραν μὲν ἀγάνορα Φοινικοστόλων
if possible son-of-Cronus trial indeed proud of-the-Phoenician-armed
ἐγχέων ταύταν θανάτου πέρι καὶ ζωᾶς ἀναβάλλομαι
spears this death about and life I-put-off
ὡς πόρσιστα, μοῖραν δ' εὔνομον
as farthest lot and lawful
αἰτέω σε παισὶν δαρὸν Αἰτναίων ὀπάζειν,
I-ask you for-the-sons long of-the-Aetnaeans to-grant

Ζεῦ πάτερ, ἀγλαΐαισιν δ' ἀστυνόμοις ἐπιμῖξαι
Zeus father with-splendors and civic to-mingle
λαόν. ἐντί τοι φίλιπποί τ' αὐτόθι
the-people there-are you-know horse-loving and there
καὶ κτεάνων ψυχὰς ἔχοντες κρέσσονας
and than-possessions souls having stronger
ἄνδρες. ἄπιστον ἔειπ'· αἰδὼς γὰρ ὑπὸ κρύφα κέρδει κλέπτεται,
men unbelievable I-said reverence for by in-secret gain is-stolen
ἃ φέρει δόξαν. Χρομίῳ κεν ὑπασπίζων
which brings glory for-Chromius — shield-bearing
παρὰ πεζοβόαις ἵπποις τε ναῶν τ' ἐν μάχαις
beside foot-soldiers horses and of-ships and in battles
ἔκρινας ἂν κίνδυνον ὀξείας ἀϋτᾶς,
you-would-have-judged — danger of-sharp war-cry

οὕνεκεν ἐν πολέμῳ κείνα θεὸς ἔντυεν αὐτοῦ
because in war that goddess armed his
θυμὸν αἰχματὰν ἀμύνειν λοιγὸν Ἐνυαλίου.
heart warlike to-ward-off ruin of-Enyalius
παῦροι δὲ βουλεῦσαι φόνου
few and to-plan of-slaughter
παρποδίου νεφέλαν τρέψαι ποτὶ δυσμενέων ἀνδρῶν στίχας
at-the-feet cloud to-turn against of-enemy men ranks
χερσὶ καὶ ψυχᾷ δυνατοί· λέγεται μὰν Ἕκτορι μὲν
with-hands and soul able it-is-said indeed for-Hector indeed
κλέος ἀνθῆσαι Σκαμάνδρου χεύμασιν
glory to-have-flowered of-Scamander by-the-streams
ἀγχοῦ, βαθυκρήμνοισι δ' ἀμφ' ἀκταῖς Ἑλώρου,
near steep-cliffed and around shores of-Helorus

ἔνθα Ῥέας πόρον ἄνθρωποι καλέοισι, δέδορκεν
where of-Rhea ford men call shone
παιδὶ τοῦθ' Ἁγησιδάμου φέγγος ἐν ἁλικίᾳ
on-the-son this of-Hagesidamus light in youth
πρώτᾳ· τὰ δ' ἄλλαις ἀμέραις
first the and on-other days
πολλὰ μὲν ἐν κονίᾳ χέρσῳ, τὰ δὲ γείτονι πόντῳ φάσομαι.
many indeed in dust dry some and on-neighboring sea I-will-tell
ἐκ πόνων δ', οἳ σὺν νεότατι γένωνται σύν τε
from toils and which with youth arise with and
δίκᾳ, τελέθει πρὸς γῆρας αἰὼν ἁμέρα.
justice becomes toward old-age life gentle
ἴστω λαχὼν πρὸς δαιμόνων θαυμαστὸν ὄλβον.
let-him-know having-gotten from gods wondrous prosperity

εἰ γὰρ ἅμα κτεάνοις πολλοῖς ἐπίδοξον ἄρηται
if for together-with possessions many glorious he-wins
κῦδος, οὐκ ἔστι πρόσωθεν θνατὸν ἔτι
glory not it-is farther mortal still
σκοπιᾶς ἄλλας ἐφάψασθαι ποδοῖν.
of-a-lookout another to-touch with-feet
ἡσυχία δὲ φιλεῖ μὲν συμπόσιον· νεοθαλὴς δ' αὔξεται
peace and loves indeed the-drinking-party fresh-blooming and grows
μαλθακᾷ νικαφορία σὺν ἀοιδᾷ· θαρσαλέα δὲ
soft victory with song bold and
παρὰ κρητῆρα φωνὰ γίνεται.
by bowl voice becomes
ἐγκιρνάτω τίς νιν, γλυκὺν κώμου προφάταν,
let-mix someone it sweet of-the-revel herald

ἀργυρέαισι δὲ νωμάτω φιάλαισι βιατὰν
in-silver and let-ply bowls mighty
ἀμπέλου παῖδ', ἅς ποθ' ἵπποι κτησάμεναι
of-the-vine child which once horses having-won
Χρομίῳ πέμψαν θεμιπλέκτοις ἁμᾷ
for-Chromius sent with-rightly-woven together
Λατοΐδα στεφάνοις ἐκ τᾶς ἱερᾶς Σικυῶνος. Ζεῦ πάτερ,
of-Leto's-son crowns from the holy Sicyon Zeus father
εὔχομαι ταύταν ἀρετὰν κελαδῆσαι σὺν Χαρίτεσσιν,
I-pray this excellence to-celebrate with Graces
ὑπὲρ πολλῶν τε τιμαλφεῖν λόγοις
above many and to-honor with-words
νίκαν, ἀκοντίζων σκοποῖ' ἄγχιστα Μοισᾶν.
victory hurling at-the-mark nearest of-the-Muses

ΘΕΑΙΩ ΑΡΓΕΙΩ ΠΑΛΑΙΣΤΗ

X · FOR THEAEUS OF ARGOS

The poet praises Argos and its heroes: Perseus, Hypermnestra, Diomedes, Amphiaraus, and Amphitryon. Theaeus, a wrestler, has won at the games of Hera and elsewhere and silently prays for an Olympic victory. The Dioscuri favor his mother's family. Idas killed Castor, Polydeuces killed Lynceus, and Zeus burned Idas with a thunderbolt. Zeus offered Polydeuces Olympus, or half his days with his brother beneath the earth. He chose to share, and Castor opened his eyes and spoke.

Δαναοῦ πόλιν ἀγλαοθρόνων τε πεντήκοντα κορᾶν, Χάριτες,
of-Danaus the-city of-splendid-throned and fifty daughters Graces
Ἄργος Ἥρας δῶμα θεοπρεπὲς ὑμνεῖτε· φλέγεται δ' ἀρεταῖς
Argos of-Hera house god-befitting hymn it-blazes and with-excellences
μυρίαις ἔργων θρασέων ἕνεκεν.
countless deeds bold for-the-sake-of
μακρὰ μὲν τὰ Περσέος ἀμφὶ Μεδοίσας Γοργόνος·
long indeed the of-Perseus about Medusa the-Gorgon
πολλὰ δ' Αἰγύπτῳ καταοίκισθεν ἄστη ταῖς Ἐπάφου παλάμαις·
many and in-Egypt were-founded cities by-the of-Epaphus hands
οὐδ' Ὑπερμνήστρα παρεπλάγχθη, μονόψαφον
nor Hypermnestra went-astray alone-voting
ἐν κολεῷ κατασχοῖσα ξίφος.
in sheath holding sword

Διομήδεα δ' ἄμβροτον ξανθά ποτε Γλαυκῶπις ἔθηκε θεόν·
Diomedes and immortal the-fair-haired once Gray-eyed made god
γαῖα δ' ἐν Θήβαις ὑπέδεκτο κεραυνωθεῖσα Διὸς βέλεσιν
earth and in Thebes received thunder-struck of-Zeus by-shafts
μάντιν Οἰκλείδαν, πολέμοιο νέφος·
seer son-of-Oecles of-war cloud
καὶ γυναιξὶν καλλικόμοισιν ἀριστεύει πάλαι·
and in-women fair-haired it-excels of-old
Ζεὺς ἐπ' Ἀλκμήναν Δανάαν τε μολὼν τοῦτον κατέφανε λόγον·
Zeus to Alcmena Danae and going this declared word
πατρὶ δ' Ἀδράστοιο Λυγκεῖ τε φρενῶν
for-the-father and of-Adrastus for-Lynceus and of-mind
καρπὸν εὐθείᾳ συνάρμοξεν δίκᾳ·
fruit with-straight joined justice

θρέψε δ' αἰχμὰν Ἀμφιτρύωνος. ὁ δ' ὄλβῳ φέρτατος
it-nurtured and the-spear of-Amphitryon he and in-prosperity greatest
ἵκετ' ἐς κείνου γενεάν, ἐπεὶ ἐν χαλκέοις ὅπλοις
came into his race since in bronze arms
Τηλεβόας ἔναρεν· τῷ ὄψιν ἐειδόμενος
the-Teleboans he-slew to-him in-face resembling
ἀθανάτων βασιλεὺς αὐλὰν ἐσῆλθεν
of-the-immortals king the-court entered
σπέρμ' ἀδείμαντον φέρων Ἡρακλέος· οὗ κατ' Ὄλυμπον
seed fearless bearing of-Heracles whose on Olympus
ἄλοχος Ἥβα τελείᾳ παρὰ ματέρι
wife Youth the-perfecting beside mother
βαίνοισ' ἔστι, καλλίστα θεῶν.
walking is fairest of-goddesses

βραχύ μοι στόμα πάντ' ἀναγήσασθ', ὅσων Ἀργεῖον ἔχει τέμενος
short my mouth all to-tell of-what Argive holds precinct
μοῖραν ἐσλῶν· ἔστι δὲ καὶ κόρος ἀνθρώπων βαρὺς ἀντιάσαι·
share of-good-things there-is and also satiety of-men heavy to-meet
ἀλλ' ὅμως εὔχορδον ἔγειρε λύραν,
but nevertheless well-strung rouse lyre
καὶ παλαισμάτων λάβε φροντίδ'· ἀγών τοι χάλκεος
and of-wrestlings take thought contest you-know brazen
δᾶμον ὀτρύνει ποτὶ βουθυσίαν Ἥρας ἀέθλων τε κρίσιν·
the-people urges to ox-sacrifice of-Hera of-games and judging
Οὐλία παῖς ἔνθα νικάσαις δὶς ἔσχεν Θεαῖος
of-Ulias son where having-won twice had Theaeus
εὐφόρων λάθαν πόνων.
of-easy-to-bear forgetfulness toils

ἐκράτησε δὲ καί ποθ' Ἕλλανα στρατὸν
won and also once Greek host
Πυθῶνι, τύχᾳ τε μολὼν
at-Pytho with-fortune and coming
καὶ τὸν Ἰσθμοῖ καὶ Νεμέᾳ στέφανον, Μοίσαισί τ' ἔδωκ' ἀρόσαι,
and the at-Isthmus and at-Nemea crown to-the-Muses and gave to-plow
τρὶς μὲν ἐν πόντοιο πύλαισι λαχών,
thrice indeed at of-the-sea gates winning
τρὶς δὲ καὶ σεμνοῖς δαπέδοις ἐν Ἀδραστείῳ νόμῳ.
thrice and also on-holy grounds in Adrastus' ordinance

Ζεῦ πάτερ, τῶν μὰν ἔραται φρενί,
Zeus father of-the-things indeed he-desires in-mind
σιγᾷ οἱ στόμα· πᾶν δὲ τέλος
is-silent his mouth all and end
ἐν τὶν ἔργων· οὐδ', ἀμόχθῳ καρδίᾳ
in you of-deeds nor with-untoiling heart
προσφέρων τόλμαν, παραιτεῖται χάριν·
bringing daring does-he-beg favor

γνώτ' ἀείδω οἵ τε καὶ ὅστις ἁμιλλᾶται περὶ
known-things I-sing to-him both and whoever strives about
ἐσχάτων ἄθλων κορυφαῖς· ὕπατον δ' ἔσχεν Πίσα
utmost contests' peaks highest and holds Pisa
Ἡρακλέος τεθμόν· ἁδεῖαί γε μὲν ἀμβολάδαν
of-Heracles ordinance sweet indeed indeed by-way-of-prelude
ἐν τελεταῖς δὶς Ἀθαναίων νιν ὀμφαὶ
in rites twice of-the-Athenians him voices
κώμασαν· γαίᾳ δὲ καυθείσᾳ πυρὶ καρπὸς ἐλαίας
celebrated in-earth and burned by-fire fruit of-olive
ἔμολεν Ἥρας τὸν εὐάνορα λαὸν
came of-Hera the brave-manned to-the-people
ἐν ἀγγέων ἔρκεσιν παμποικίλοις.
in of-jars enclosures all-embroidered

ἕπεται δέ, Θεαῖε, ματρώων πολύγνωτον γένος ὑμετέρων
follows and Theaeus of-maternal much-famed race your
εὐάγων τιμὰ Χαρίτεσσί τε καὶ σὺν Τυνδαρίδαις θαμάκις.
glorious-in-contests honor with-the-Graces both and with the-Tyndarids often

ἀξιωθείην κεν, ἐὼν Θρασύκλου
may-I-be-thought-worthy — being of-Thrasyclus
Ἀντία τε ξύγγονος, Ἄργει μὴ κρύπτειν φάος
of-Antias and kinsman in-Argos not to-hide the-light
ὀμμάτων. νικαφορίαις γὰρ ὅσαις Προίτοιο τόδ' ἱπποτρόφον
of-eyes with-victories for how-many of-Proetus this horse-rearing
ἄστυ θάλησεν Κορίνθου τ' ἐν μυχοῖς
city flourished of-Corinth and in recesses
καὶ Κλεωναίων πρὸς ἀνδρῶν τετράκις·
and Cleonaean from men four-times

Σικυωνόθε δ' ἀργυρωθέντες σὺν οἰνηραῖς φιάλαις ἐπέβαν,
from-Sicyon and silvered with wine bowls they-came
ἐκ δὲ Πελλάνας ἐπιεσσάμενοι νῶτον μαλακαῖσι κρόκαις·
from and Pellene clothing back with-soft woolens
ἀλλὰ χαλκὸν μυρίον οὐ δυνατὸν
but the-bronze countless not possible
ἐξελέγχειν· μακροτέρας γὰρ ἀριθμῆσαι σχολᾶς·
to-reckon longer for to-count leisure
ὅντε Κλείτωρ καὶ Τεγέα καὶ Ἀχαιῶν ὑψίβατοι πόλιες
which Cleitor and Tegea and of-the-Achaeans high-set cities
καὶ Λύκαιον πὰρ Διὸς θῆκε δρόμῳ,
and Lycaeum by of-Zeus set in-race
σὺν ποδῶν χειρῶν τε νικᾶσαι σθένει.
with of-feet of-hands and to-win strength

Κάστορος δ' ἐλθόντος ἐπὶ ξενίαν πὰρ Παμφάη
Castor and coming to hospitality by Pamphaes
καὶ κασιγνήτου Πολυδεύκεος, οὐ θαῦμα σφίσιν
and brother Polydeuces not marvel to-them
ἐγγενὲς ἔμμεν ἀεθλητaῖς ἀγαθοῖσιν· ἐπεὶ
inborn to-be for-athletes good since
εὐρυχόρου ταμίαι Σπάρτας ἀγώνων
of-wide-spaced stewards Sparta of-contests
μοῖραν Ἑρμᾷ καὶ σὺν Ἡρακλεῖ διέποντι θάλειαν,
share with-Hermes and with Heracles administering flourishing
μάλα μὲν ἀνδρῶν δικαίων περικαδόμενοι.
very indeed of-men just caring-for
καὶ μὰν θεῶν πιστὸν γένος.
and indeed of-gods trusty race

μεταμειβόμενοι δ' ἐναλλὰξ ἀμέραν τὰν μὲν παρὰ πατρὶ φίλῳ
changing and in-turn day one indeed beside father dear
Διὶ νέμονται, τὰν δ' ὑπὸ κεύθεσι γαίας ἐν γυάλοις Θεράπνας,
Zeus they-spend the-other and under hollows of-earth in vales of-Therapna
πότμον ἀμπιπλάντες ὁμοῖον· ἐπεὶ
destiny fulfilling equal since
τοῦτον, ἢ πάμπαν θεὸς ἔμμεναι οἰκεῖν τ' οὐρανῷ,
this rather-than wholly god to-be to-dwell and in-heaven
εἵλετ' αἰῶνα φθιμένου Πολυδεύκης Κάστορος ἐν πολέμῳ.
chose life of-dead Polydeuces Castor in war
τὸν γὰρ Ἴδας ἀμφὶ βουσίν πως χολωθεὶς
him for Idas about cattle somehow angered
ἔτρωσεν χαλκέας λόγχας ἀκμᾷ.
wounded of-bronze spear with-the-point

ἀπὸ Ταϋγέτου πεδαυγάζων ἴδεν Λυγκεὺς δρυὸς ἐν στελέχει
from Taygetus gazing-down saw Lynceus of-oak in trunk
ἡμένους. κείνου γὰρ ἐπιχθονίων πάντων γένετ' ὀξύτατον
sitting of-him for of-earth-dwellers all was sharpest
ὄμμα. λαιψηροῖς δὲ πόδεσσιν ἄφαρ
eye with-swift and feet at-once
ἐξικέσθαν, καὶ μέγα ἔργον ἐμήσαντ' ὠκέως,
they-arrived and great deed contrived swiftly
καὶ πάθον δεινὸν παλάμαις Ἀφαρητίδαι Διός. αὐτίκα γὰρ
and suffered terribly by-the-hands the-sons-of-Aphareus of-Zeus at-once for
ἦλθε Λήδας παῖς διώκων· τοὶ δ' ἔναντα
came of-Leda the-son pursuing they and opposite
στάθεν τύμβῳ σχεδὸν πατρωΐῳ·
stood tomb near paternal

ἔνθεν ἁρπάξαντες ἄγαλμ' Ἀΐδα, ξεστὸν πέτρον,
thence snatching ornament of-Hades polished stone
ἔμβαλον στέρνῳ Πολυδεύκεος· ἀλλ' οὔ νιν φλάσαν,
they-hurled on-breast of-Polydeuces but not him crushed
οὐδ' ἀνέχασσαν· ἐφορμαθεὶς δ' ἄρ' ἄκοντι θοῷ
nor drove-back rushing and then with-javelin swift
ἤλασε Λυγκέος ἐν πλευραῖσι χαλκόν.
drove of-Lynceus into ribs bronze
Ζεὺς δ' ἐπ' Ἴδᾳ πυρφόρον πλᾶξε ψολόεντα κεραυνόν·
Zeus and on Idas fire-bearing hurled smoking thunderbolt
ἅμα δ' ἐκαίοντ' ἔρημοι. χαλεπὰ δ' ἔρις
together and burned desolate hard and strife
ἀνθρώποις ὁμιλεῖν κρεσσόνων.
for-men to-engage of-the-stronger

ταχέως δ' ἐπ' ἀδελφεοῦ βίαν πάλιν χώρησεν ὁ Τυνδαρίδας,
quickly and to of-brother the-might back went — son-of-Tyndareus
καί νιν οὔπω τεθναότ', ἄσθματι δὲ φρίσσοντα πνοὰς ἔκιχεν.
and him not-yet dead with-gasp and shuddering breaths he-found
θερμὰ δὴ τέγγων δάκρυα στοναχαῖς
warm indeed shedding tears with-groans
ὄρθιον φώνασε· "Πάτερ Κρονίων, τίς δὴ λύσις
aloud he-called Father son-of-Cronus what indeed release
ἔσσεται πενθέων; καὶ ἐμοὶ θάνατον σὺν τῷδ' ἐπίτειλον, ἄναξ.
will-be of-sorrows also to-me death with this enjoin lord
οἴχεται τιμὰ φίλων τατωμένῳ φωτί·
gone honor of-friends to-a-bereaved man
παῦροι δ' ἐν πόνῳ πιστοὶ βροτῶν
few and in toil faithful of-mortals

καμάτου μεταλαμβάνειν." ὣς ἔννεπε· Ζεὺς δ' ἀντίος ἦλυθέ οἱ
of-toil to-share so he-spoke Zeus and opposite came to-him
καὶ τόδ' ἐξαύδασ' ἔπος· " Ἐσσί μοι υἱός· τόνδε δ' ἔπειτα πόσις
and this spoke word You-are to-me son this-one and afterward husband
σπέρμα θνατὸν ματρὶ τεᾷ πελάσαις
seed mortal to-mother your approaching
στάξεν ἥρως. ἀλλ' ἄγε τῶνδέ τοι ἔμπαν αἵρεσιν
dropped hero but come of-these to-you nevertheless choice
παρδίδωμ'· εἰ μὲν θάνατόν τε φυγὼν καὶ γῆρας ἀπεχθόμενον
I-give if indeed death both escaping and old-age hateful
αὐτὸς Οὔλυμπον θέλεις ναίειν ἐμοὶ σύν τ'
yourself Olympus you-wish to-dwell me with and
Ἀθαναίᾳ κελαινεγχεῖ τ' Ἄρει,
Athena dark-speared and Ares

ἔστι τοι τούτων λάχος· εἰ δὲ κασιγνήτου πέρι
there-is for-you of-these a-lot if and brother for
μάρνασαι, πάντων δὲ νοεῖς ἀποδάσσασθαι ἴσον,
you-fight all and you-intend to-share equal
ἥμισυ μέν κε πνέοις γαίας ὑπένερθεν ἐών,
half indeed — you-may-breathe earth beneath being
ἥμισυ δ' οὐρανοῦ ἐν χρυσέοις δόμοισιν."
half and of-heaven in golden houses
ὣς ἄρ' αὐδάσαντος οὐ γνώμᾳ διπλόαν θέτο βουλάν.
so then having-spoken not in-mind double set counsel
ἀνὰ δ' ἔλυσεν μὲν ὀφθαλμόν, ἔπειτα δὲ
up and released indeed the-eye then and
φωνὰν χαλκομίτρα Κάστορος.
voice of-bronze-belted Castor

ΑΡΙΣΤΑΓΟΡΑ ΤΕΝΕΔΙΩ ΠΡΥΤΑΝΕΙ

XI · FOR ARISTAGORAS OF TENEDOS

The poet prays to Hestia to welcome Aristagoras as prytanis of Tenedos. He praises his beauty and strength and his sixteen victories in wrestling and the pancratium, but reminds him that he is mortal. His parents' caution kept him from Pytho and Olympia, where he would have won. His blood runs from Peisander of Sparta and Melanippus of Thebes. Fortune alternates over generations, like fields and trees, and one should hunt for gains with measure.

Παῖ Ῥέας, ἅ τε πρυτανεῖα λέλογχας, Ἑστία,
Child of-Rhea who — town-halls have-received Hestia
Ζηνὸς ὑψίστου κασιγνήτα καὶ ὁμοθρόνου Ἥρας,
of-Zeus highest sister and of-throne-sharing Hera
εὖ μὲν Ἀρισταγόραν δέξαι τεὸν ἐς θάλαμον,
well indeed Aristagoras receive your into chamber
εὖ δ' ἑταίρους ἀγλαῷ σκάπτῳ πέλας,
well and companions splendid scepter near
οἵ σε γεραίροντες ὀρθὰν φυλάσσοισιν Τένεδον, 5
who you honoring upright guard Tenedos

πολλὰ μὲν λοιβαῖσιν ἀγαζόμενοι πρώταν θεῶν,
often indeed with-libations revering first of-gods
πολλὰ δὲ κνίσσᾳ· λύρα δέ σφι βρέμεται καὶ ἀοιδά·
often and with-savor lyre and for-them sounds and song

καὶ ξενίου Διὸς ἀσκεῖται Θέμις ἀενάοις
and of-the-hospitable Zeus is-practiced Themis everlasting
ἐν τραπέζαις. ἀλλὰ σὺν δόξᾳ τέλος
in tables but with glory the-end
δωδεκάμηνον περᾶσαι σὺν ἀτρώτῳ κραδίᾳ,
twelve-month to-pass with unwounded heart

ἄνδρα δ' ἐγὼ μακαρίζω μὲν πατέρ' Ἀγησίλαν,
the-man and I call-blessed indeed father Hagesilas
καὶ τὸ θαητὸν δέμας ἀτρεμίαν τε ξύγγονον.
and the wondrous body steadfastness and inborn
εἰ δέ τις ὄλβον ἔχων μορφᾷ παραμεύσεται ἄλλους,
if and anyone prosperity having in-form shall-surpass others
ἔν τ' ἀέθλοισιν ἀριστεύων ἐπέδειξεν βίαν,
in and contests excelling has-shown strength
θνατὰ μεμνάσθω περιστέλλων μέλη,
mortal let-him-remember clothing limbs
καὶ τελευτὰν ἁπάντων γᾶν ἐπιεσσόμενος·
and as-end of-all earth to-put-on

ἐν λόγοις δ' ἀστῶν ἀγαθοῖσί νιν αἰνεῖσθαι χρεών,
in words and of-citizens good him to-be-praised it-is-right
καὶ μελιγδούποισι δαιδαλθέντα μελιζέμεν ἀοιδαῖς.
and with-honey-sounding adorned to-sing songs

ἐκ δὲ περικτιόνων ἑκκαίδεκ' Ἀρισταγόραν
from and the-neighbors sixteen Aristagoras
ἀγλααὶ νῖκαι πάτραν τ' εὐώνυμον
splendid victories fatherland and well-named
ἐστεφάνωσαν πάλᾳ καὶ μεγαυχεῖ παγκρατίῳ.
crowned in-wrestling and in-proud pancratium

ἐλπίδες δ' ὀκνηρότεραι γονέων παιδὸς βίαν
hopes and too-hesitant of-parents of-the-boy might
ἔσχον ἐν Πυθῶνι πειρᾶσθαι καὶ Ὀλυμπίᾳ ἄθλων.
held-back at Pytho to-try and at-Olympia of-contests
ναὶ μὰ γὰρ ὅρκον, ἐμὰν δόξαν παρὰ Κασταλίᾳ
yes by for oath my opinion by Castalia
καὶ παρ' εὐδένδρῳ μολὼν ὄχθῳ Κρόνου
and by well-wooded coming hill of-Cronus
κάλλιον ἂν δηριώντων ἐνόστησ' ἀντιπάλων,
more-nobly — than-contending he-would-have-returned rivals

πενταετηρίδ' ἑορτὰν Ἡρακλέος τέθμιον
five-yearly feast of-Heracles ordained
κωμάσαις ἀνδησάμενός τε κόμαν ἐν πορφυρέοις
celebrating binding and hair with purple
ἔρνεσιν. ἀλλὰ βροτῶν τὸν μὲν κενεόφρονες αὖχαι
sprigs but of-mortals one indeed empty-minded boasts

ἐξ ἀγαθῶν ἔβαλον· τὸν δ' αὖ καταμεμφθέντ' ἄγαν
from good-things cast another and again blamed exceedingly
ἰσχὺν οἰκείων παρέσφαλεν καλῶν
strength of-own tripped noble-things
χειρὸς ἕλκων ὀπίσσω θυμὸς ἄτολμος ἐών.
by-hand dragging backward heart cowardly being

συμβαλεῖν μὰν εὐμαρὲς ἦν τό τε Πεισάνδρου πάλαι
to-guess indeed easy was the both of-Peisander of-old
αἶμ' ἀπὸ Σπάρτας· Ἀμύκλαθεν γὰρ ἔβα σὺν Ὀρέστᾳ,
blood from Sparta from-Amyclae for he-came with Orestes
Αἰολέων στρατιὰν χαλκεντέα δεῦρ' ἀνάγων·
of-the-Aeolians army bronze-armored hither leading
καὶ παρ' Ἰσμηνοῦ ῥοὰν κεκραμένον
and by of-Ismenus stream blended
ἐκ Μελανίπποιο μάτρωος. ἀρχαῖαι δ' ἀρεταὶ
from Melanippus maternal-uncle ancient and excellences

ἀμφέροντ' ἀλλασσόμεναι γενεαῖς ἀνδρῶν σθένος·
bring-forth alternating in-generations of-men strength
ἐν σχερῷ δ' οὔτ' ὢν μέλαιναι καρπὸν ἔδωκαν ἄρουραι,
in succession and neither then black fruit gave fields
δένδρεά τ' οὐκ ἐθέλει πάσαις ἐτέων περόδοις
trees and not wish in-all of-years circuits
ἄνθος εὐῶδες φέρειν πλούτῳ ἴσον,
flower fragrant to-bear in-wealth equal
ἀλλ' ἐν ἀμείβοντι. καὶ θνατὸν οὕτως ἔθνος ἄγει
but in alternation and mortal thus race leads

μοῖρα. τὸ δ' ἐκ Διὸς ἀνθρώποις σαφὲς οὐχ ἕπεται
fate the and from Zeus for-men clear not follows
τέκμαρ· ἀλλ' ἔμπαν μεγαλανορίαις ἐμβαίνομεν,
token but nevertheless on-proud-deeds we-embark
ἔργα τε πολλὰ μενοινῶντες· δέδεται γὰρ ἀναιδεῖ
deeds and many longing-for is-bound for with-shameless
ἐλπίδι γυῖα· προμαθείας δ' ἀπόκεινται ῥοαί.
hope limbs of-foresight and lie-afar the-streams
κερδέων δὲ χρὴ μέτρον θηρευέμεν·
of-gains and it-is-needful measure to-hunt
ἀπροσίκτων δ' ἐρώτων ὀξύτεραι μανίαι.
of-unattainable and loves sharper madnesses

PINDAR

ΙΣΘΜΙΟΝΙΚΑΙ

The Isthmian Odes

ΗΡΟΔΟΤΩ ΘΗΒΑΙΩ ΑΡΜΑΤΙ

I · FOR HERODOTUS OF THEBES

The poet sets aside a song for Delos to praise Thebes and Herodotus, victor with the chariot, who drove his own horses. He will fit him into a song for Castor or Iolaus, heroes of Sparta and Thebes. Herodotus' father Asopodorus recovered from shipwreck. Toil deserves praise, and the poet names the games Herodotus won. He prays for victories at Pytho and Olympia and scorns the man who hoards his wealth.

Μᾶτερ ἐμά, τὸ τεόν, χρύσασπι Θήβα,
Mother my the yours golden-shielded Theba
πρᾶγμα καὶ ἀσχολίας ὑπέρτερον
matter even than-business higher
θήσομαι. μή μοι κραναὰ νεμεσάσαι
I-will-set not with-me rocky may-be-indignant
Δᾶλος, ἐν ᾗ κέχυμαι.
Delos in whom I-am-poured-out
τί φίλτερον κεδνῶν τοκέων ἀγαθοῖς; 5
what dearer than-trusty parents for-the-good
εἶξον, Ὠπολλωνιάς· ἀμφοτερᾶν τοι χαρίτων
yield Apollo's-isle of-both you-know graces
σὺν θεοῖς ζεύξω τέλος,
with gods I-will-yoke the-end

καὶ τὸν ἀκειρεκόμαν Φοῖβον χορεύων
and — unshorn-haired Phoebus dancing
ἐν Κέῳ ἀμφιρύτᾳ σὺν ποντίοις
in Ceos sea-girt with sea-faring
ἀνδράσιν, καὶ τὰν ἁλιερκέα, Ἰσθμοῦ
men and the sea-fenced of-the-Isthmus

δειράδ'· ἐπεὶ στεφάνους
ridge since crowns
ἓξ ὤπασεν Κάδμου στρατῷ ἐξ ἀέθλων,
six it-granted of-Cadmus to-the-host from contests
καλλίνικον πατρίδι κῦδος.
glorious-victory for-fatherland glory
ἐν ᾗ καὶ τὸν ἀδείμαντον Ἀλκμήνα τέκεν
in which also the fearless Alcmena bore

παῖδα, θρασεῖαι τόν ποτε Γηρυόνα φρῖξαν κύνες.
son bold whom once of-Geryon shuddered-at dogs
ἀλλ' ἐγὼ Ἡροδότῳ τεύχων τὸ μὲν ἅρματι τεθρίππῳ γέρας,
but I for-Herodotus making the indeed for-the-chariot four-horsed prize
ἁνία τ' ἀλλοτρίαις οὐ χερσὶ νωμάσαντ' ἐθέλω
reins and with-others' not hands having-plied wish
ἢ Καστορείῳ ἢ Ἰολάου ἐναρμόξαι νιν ὕμνῳ.
either in-Castor's or Iolaus' to-fit him hymn
κεῖνοι γὰρ ἡρώων διφρηλάται Λακεδαίμονι
they for of-heroes charioteers in-Lacedaemon
καὶ Θήβαις ἐτέκνωθεν κράτιστοι·
and in-Thebes were-begotten mightiest

ἔν τ' ἀέθλοισι θίγον πλείστων ἀγώνων,
in and contests they-touched most contests
καὶ τριπόδεσσιν ἐκόσμησαν δόμον
and with-tripods adorned house
καὶ λεβήτεσσιν φιάλαισί τε χρυσοῦ,
and with-cauldrons with-bowls and of-gold

γευόμενοι στεφάνων
tasting crowns
νικαφόρων· λάμπει δὲ σαφὴς ἀρετὰ
victorious shines and clear excellence
ἔν τε γυμνοῖσι σταδίοις σφίσιν ἔν τ'
in both naked stadium-races for-them in and
ἀσπιδοδούποισιν ὁπλίταις δρόμοις,
shield-clashing hoplite courses

οἷά τε χερσὶν ἀκοντίζοντες αἰχμαῖς,
such-as — with-hands hurling spears
καὶ λιθίνοις ὁπότ' ἐν δίσκοις ἵεν.
and stone when in quoits they-threw
οὐ γὰρ ἦν πεντάθλιον, ἀλλ' ἐφ' ἑκάστῳ
not for there-was pentathlon but upon each
ἔργματι κεῖτο τέλος.
deed lay the-prize
τῶν ἀθρόοις ἀνδησάμενοι θαμάκις
of-these with-thick binding often
ἔρνεσιν χαίτας ῥεέθροισί τε Δίρκας
sprigs hair by-streams and of-Dirce
ἔφανεν καὶ παρ' Εὐρώτᾳ πέλας,
they-appeared and by Eurotas near

Ἰφικλέος μὲν παῖς ὁμόδαμος ἐὼν Σπαρτῶν γένει,
of-Iphicles indeed son fellow-citizen being of-the-Sown-men with-the-race
Τυνδαρίδας δ' ἐν Ἀχαιοῖς ὑψίπεδον Θεράπνας οἰκέων ἕδος.
son-of-Tyndareus and among Achaeans high-set of-Therapna dwelling seat

χαίρετ'. ἐγὼ δὲ Ποσειδάωνι Ἰσθμῷ τε ζαθέᾳ
farewell I and for-Poseidon for-Isthmus and holy
Ὀγχηστίαισίν τ' ἀϊόνεσσιν περιστέλλων ἀοιδὰν
at-Onchestian and shores wrapping song
γαρύσομαι τοῦδ' ἀνδρὸς ἐν τιμαῖσιν ἀγακλέα
will-proclaim of-this man in honors very-famous
τὰν Ἀσωποδώρου πατρὸς αἶσαν
the of-Asopodorus of-the-father lot

Ὀρχομενοῖό τε πατρῴαν ἄρουραν,
of-Orchomenus and ancestral field
ἅ νιν ἐρειδόμενον ναυαγίαις
which him driven by-shipwrecks
ἐξ ἀμετρήτας ἁλὸς ἐν κρυοέσσᾳ
from boundless sea in chill
δέξατο συντυχίᾳ·
received misfortune
νῦν δ' αὖτις ἀρχαίας ἐπέβασε πότμος
now and again of-ancient set-upon destiny
συγγενὴς εὐαμερίας. ὁ πονήσαις δὲ νόῳ καὶ προμάθειαν φέρει·
inborn fair-weather he having-toiled and in-mind also foresight bears

εἰ δ' ἀρετᾷ κατάκειται πᾶσαν ὀργάν,
if and to-excellence he-devotes all spirit
ἀμφότερον δαπάναις τε καὶ πόνοις,
both with-expenses both and toils

χρή νιν εὑρόντεσσιν ἀγάνορα κόμπον
it-is-needful him for-those-having-found lordly boast
μὴ φθονεραῖσι φέρειν
not with-envious to-bear
γνώμαις. ἐπεὶ κούφα δόσις ἀνδρὶ σοφῷ
thoughts since light gift for-man wise
ἀντὶ μόχθων παντοδαπῶν ἔπος εἰπόντ'
for toils all-kinds word having-spoken
ἀγαθὸν ξυνὸν ὀρθῶσαι καλόν.
good common to-raise noble

μισθὸς γὰρ ἄλλοις ἄλλος ἐφ' ἔργμασιν ἀνθρώποις γλυκύς,
reward for to-others other for deeds to-men sweet
μηλοβότᾳ τ' ἀρότᾳ τ' ὀρνιχολόχῳ τε καὶ ὃν πόντος τρέφει·
to-shepherd and to-plowman and to-fowler both and whom sea nourishes
γαστρὶ δὲ πᾶς τις ἀμύνων λιμὸν αἰανῆ τέταται·
for-belly and every one warding-off hunger grievous strains
ὃς δ' ἀμφ' ἀέθλοις ἢ πολεμίζων ἄρηται κῦδος ἁβρόν,
who and for contests or warring wins glory luxurious
εὐαγορηθεὶς κέρδος ὕψιστον δέκεται,
being-well-spoken-of gain highest receives
πολιατᾶν καὶ ξένων γλώσσας ἄωτον.
of-citizens and of-strangers of-tongue flower

ἄμμι δ' ἔοικε Κρόνου σεισίχθον' υἱὸν
for-us and it-befits of-Cronus earth-shaking son
γείτον' ἀμειβομένοις εὐεργέταν
neighbor requiting benefactor
ἁρμάτων ἱπποδρόμιον κελαδῆσαι,
of-chariots horse-racing to-celebrate
55 καὶ σέθεν, Ἀμφιτρύων,
and your Amphitryon
παῖδας προσειπεῖν, τὸν Μινύα τε μυχὸν
sons to-address the of-Minyas and recess
καὶ τὸ Δάματρος κλυτὸν ἄλσος Ἐλευσῖνα
and the of-Demeter famous grove Eleusis
καὶ Εὔβοιαν ἐν γναμπτοῖς δρόμοις·
and Euboea in winding courses

Πρωτεσίλα, τὸ τεὸν δ' ἀνδρῶν Ἀχαιῶν
Protesilas the yours and of-men Achaean
ἐν Φυλάκᾳ τέμενος συμβάλλομαι.
in Phylace precinct I-add
60 πάντα δ' ἐξειπεῖν, ὅσ' ἀγώνιος Ἑρμᾶς
all and to-tell-out as-many-as contest-patron Hermes
Ἡροδότῳ ἔπορεν
to-Herodotus granted
ἵπποις, ἀφαιρεῖται βραχὺ μέτρον ἔχων
with-horses takes-away short measure having
ὕμνος. ἦ μὰν πολλάκι καὶ τὸ σεσωπαμένον
hymn truly indeed often also the kept-silent
εὐθυμίαν μείζω φέρει.
good-cheer greater brings

εἴη νιν εὐφώνων πτερύγεσσιν ἀερθέντ᾽ ἀγλααῖς
may-it-be him of-sweet-voiced on-wings raised splendid
Πιερίδων ἔτι καὶ Πυθῶθεν Ὀλυμπιάδων τ᾽ ἐξαιρέτοις 65
the-Pierides still also from-Pytho of-Olympiads and with-choice
Ἀλφεοῦ ἔρνεσι φράξαι χεῖρα τιμὰν ἑπταπύλοις
of-Alpheus sprigs to-fence hand honor for-seven-gated
Θήβαισι τεύχοντ᾽. εἰ δέ τις ἔνδον νέμει πλοῦτον κρυφαῖον,
Thebes making if and anyone within tends wealth hidden
ἄλλοισι δ᾽ ἐμπίπτων γελᾷ, ψυχὰν Ἀΐδᾳ
at-others and falling laughs soul to-Hades
τελέων οὐ φράζεται δόξας ἄνευθεν.
paying not he-considers fame without

ΞΕΝΟΚΡΑΤΕΙ ΑΚΡΑΓΑΝΤΙΝΩ ΑΡΜΑΤΙ

II · FOR XENOCRATES OF ACRAGAS

Poets of old sang freely of the boys they loved, for the Muse was not then for hire. Now she heeds the Argive's saying that money makes the man. The poet praises the late Xenocrates for his chariot victories at the Isthmus, Delphi, and Athens. The Elean heralds greeted his charioteer Nicomachus at Olympia. Xenocrates was gentle, a breeder of horses, and a generous host. His son Thrasybulus must not let envy silence his father's fame.

Οἱ μὲν πάλαι, ὦ Θρασύβουλε, φῶτες, οἳ χρυσαμπύκων
The indeed of-old O Thrasybulus men who of-golden-filleted
ἐς δίφρον Μοισᾶν ἔβαινον κλυτᾷ φόρμιγγι συναντόμενοι,
into chariot the-Muses mounted with-glorious lyre meeting
ῥίμφα παιδείους ἐτόξευον μελιγάρυας ὕμνους,
swiftly boyish shot honey-voiced hymns
ὅστις ἐὼν καλὸς εἶχεν Ἀφροδίτας
whoever being fair had of-Aphrodite
εὐθρόνου μνάστειραν ἁδίσταν ὀπώραν.
fair-throned courting sweetest summer

ἁ Μοῖσα γὰρ οὐ φιλοκερδής πω τότ' ἦν οὐδ' ἐργάτις·
the Muse for not gain-loving yet then was nor hireling
οὐδ' ἐπέρναντο γλυκεῖαι μελιφθόγγου ποτὶ Τερψιχόρας
nor were-sold sweet honey-voiced from Terpsichore
ἀργυρωθεῖσαι πρόσωπα μαλθακόφωνοι ἀοιδαί.
silvered in-face soft-voiced songs

νῦν δ' ἐφίητι τὸ τὠργείου φυλάξαι
now and she-bids the of-the-Argive to-heed
ῥῆμ' ἀλαθείας ἐτᾶς ἄγχιστα βαῖνον,
saying of-truth genuine nearest coming

"Χρήματα, χρήματ' ἀνήρ," ὃς φᾶ κτεάνων θ'
Money money man who said of-possessions and
ἅμα λειφθεὶς καὶ φίλων.
at-once left and of-friends
ἐσσὶ γὰρ ὢν σοφός, οὐκ ἄγνωτ' ἀείδω
you-are for then wise not unknown-things I-sing
Ἰσθμίαν ἵπποισι νίκαν,
Isthmian with-horses victory
τὰν Ξενοκράτει Ποσειδάων ὀπάσαις,
which to-Xenocrates Poseidon granting
Δωρίων αὐτῷ στεφάνωμα κόμᾳ
of-Dorian to-him a-crown for-hair
πέμπεν ἀναδεῖσθαι σελίνων,
sent to-bind-on parsley

εὐάρματον ἄνδρα γεραίρων, Ἀκραγαντίνων φάος.
fine-charioted man honoring of-the-Acragantines light
ἐν Κρίσᾳ δ' εὐρυσθενὴς εἶδ' Ἀπόλλων νιν πόρε τ' ἀγλαΐαν
in Crisa and wide-mighty saw Apollo him gave and splendor
καὶ τόθι· κλειναῖς δ' Ἐρεχθειδᾶν χαρίτεσσιν ἀραρὼς
also there by-glorious and of-the-Erechtheidae graces fitted

ταῖς λιπαραῖς ἐν Ἀθάναις, οὐκ ἐμέμφθη
the shining in Athens not he-was-blamed
ῥυσίδιφρον χεῖρα πλαξίπποιο φωτός,
chariot-saving hand of-horse-smiting man

τὰν Νικόμαχος κατὰ καιρὸν νεῖμ' ἁπάσαις ἀνίαις·
which Nicomachus in due-measure plied with-all reins
ὅντε καὶ κάρυκες ὡρᾶν ἀνέγνον, σπονδοφόροι Κρονίδα
whom also the-heralds of-the-seasons recognized truce-bearers of-the-son-of-Cronus
Ζηνὸς Ἀλεῖοι, παθόντες πού τι φιλόξενον ἔργον·
Zeus Eleans having-experienced somehow some hospitable deed
ἁδυπνόῳ τέ νιν ἀσπάζοντο φωνᾷ
with-sweet-breathing and him greeted voice
χρυσέας ἐν γούνασιν πίτνοντα Νίκας
of-golden on knees falling Victory

γαῖαν ἀνὰ σφετέραν, τὰν δὴ καλέοισιν Ὀλυμπίου Διὸς
land throughout their-own which indeed they-call of-Olympian Zeus
ἄλσος· ἵν' ἀθανάτοις Αἰνησιδάμου
grove where immortal of-Aenesidamus
παῖδες ἐν τιμαῖς ἔμιχθεν.
the-sons in honors were-joined
καὶ γὰρ οὐκ ἀγνῶτες ὑμῖν ἐντὶ δόμοι
and for not unknown to-you are houses
οὔτε κώμων, ὦ Θρασύβουλ', ἐρατῶν,
neither of-revels O Thrasybulus lovely
οὔτε μελικόμπων ἀοιδᾶν.
nor of-honey-boasting songs

οὐ γὰρ πάγος, οὐδὲ προσάντης ἁ κέλευθος γίνεται,
not for crag nor uphill the road becomes
εἴ τις εὐδόξων ἐς ἀνδρῶν ἄγοι τιμὰς Ἑλικωνιάδων.
if anyone of-glorious to men should-bring honors of-the-Heliconians
μακρὰ δισκήσαις ἀκοντίσσαιμι τοσοῦθ', ὅσον ὀργὰν
far having-hurled-the-quoit may-I-throw-the-javelin as-far as temper
Ξεινοκράτης ὑπὲρ ἀνθρώπων γλυκεῖαν
Xenocrates above men sweet
ἔσχεν. αἰδοῖος μὲν ἦν ἀστοῖς ὁμιλεῖν,
had revered indeed he-was for-citizens to-associate

ἱπποτροφίας τε νομίζων ἐν Πανελλάνων νόμῳ·
horse-rearing and practicing in of-all-Greeks custom
καὶ θεῶν δαῖτας προσέπτυκτο πάσας· οὐδέ ποτε ξενίαν
and of-the-gods feasts he-embraced all nor ever hospitality
οὖρος ἐμπνεύσαις ὑπέστειλ' ἱστίον ἀμφὶ τράπεζαν·
wind blowing furled sail around table
ἀλλ' ἐπέρα ποτὶ μὲν Φᾶσιν θερείαις,
but he-crossed to indeed Phasis in-summer-seasons
ἐν δὲ χειμῶνι πλέων Νείλου πρὸς ἀκτάς.
in and winter sailing of-Nile to shores

μή νυν, ὅτι φθονεραὶ θνατῶν φρένας ἀμφικρέμανται ἐλπίδες,
not now because envious of-mortals minds hang-around hopes
μήτ' ἀρετάν ποτε σιγάτω πατρῴαν,
neither excellence ever let-him-silence paternal

μηδὲ τούσδ' ὕμνους· ἐπεί τοι
nor these hymns since you-know
οὐκ ἐλινύσοντας αὐτοὺς εἰργασάμαν.
not to-stand-idle them I-made
ταῦτα, Νικάσιππ', ἀπόνειμον, ὅταν
these Nicasippus deliver when
ξεῖνον ἐμὸν ἠθαῖον ἔλθῃς.
host my old-friend you-come-to

ΜΕΛΙΣΣΩ ΘΗΒΑΙΩ ΙΠΠΟΙΣ

III · FOR MELISSUS OF THEBES

A man who succeeds and keeps from insolence deserves praise. Melissus has won at the Isthmus and at Nemea in the chariot race, and the Cleonymidae have long been famed for chariots. Life rolls and changes, but the sons of gods are unwounded.

Εἴ τις ἀνδρῶν εὐτυχήσαις ἢ σὺν εὐδόξοις ἀέθλοις
If anyone of-men having-succeeded either with glorious contests
ἢ σθένει πλούτου κατέχει φρασὶν αἰανῆ κόρον,
or with-strength of-wealth restrains in-mind grievous insolence
ἄξιος εὐλογίαις ἀστῶν μεμίχθαι.
worthy with-praises of-citizens to-be-mingled
Ζεῦ, μεγάλαι δ' ἀρεταὶ θνατοῖς ἕπονται
Zeus great and excellences for-mortals follow
ἐκ σέθεν· ζώει δὲ μάσσων ὄλβος ὀπιζομένων,
from you lives and longer prosperity of-the-reverent
πλαγίαις δὲ φρένεσσιν
with-crooked but minds
οὐχ ὁμῶς πάντα χρόνον θάλλων ὁμιλεῖ.
not alike all time flourishing it-consorts

εὐκλέων δ' ἔργων ἄποινα χρὴ μὲν ὑμνῆσαι τὸν ἐσλόν,
of-glorious and deeds as-reward it-is-needful indeed to-hymn the good
χρὴ δὲ κωμάζοντ' ἀγαναῖς χαρίτεσσιν βαστάσαι.
it-is-needful and reveling with-gentle graces to-exalt

ἔστι δὲ καὶ διδύμων ἀέθλων Μελίσσῳ
there-is and also of-twin contests for-Melissus
μοῖρα πρὸς εὐφροσύναν τρέψαι γλυκεῖαν
lot toward gladness to-turn sweet
ἦτορ, ἐν βάσσαισιν Ἰσθμοῦ δεξαμένῳ
heart in glens of-the-Isthmus having-received
στεφάνους, τὰ δὲ κοίλᾳ λέοντος
crowns the and hollow of-the-lion
ἐν βαθυστέρνου νάπᾳ κάρυξε Θήβαν
in deep-chested vale he-proclaimed Thebes

ἱπποδρομίᾳ κρατέων. ἀνδρῶν δ' ἀρετὰν
in-horse-race winning of-men and excellence
σύμφυτον οὐ κατελέγχει.
inborn not he-disgraces
ἴστε μὰν Κλεωνύμου
you-know indeed of-Cleonymus
δόξαν παλαιὰν ἅρμασιν·
fame ancient in-chariots
καὶ ματρόθε Λαβδακίδαισιν σύννομοι πλούτου
and on-the-mother's-side to-the-Labdacidae co-sharers of-wealth
διέστειχον τετραοριᾶν πόνοις.
they-went-through of-four-horse-teams in-toils
αἰὼν δὲ κυλινδομέναις ἀμέραις ἄλλ' ἄλλοτ' ἐξάλλαξεν·
life and with-rolling days other at-other-times changes
ἄτρωτοί γε μὰν παῖδες θεῶν.
unwounded indeed truly the-children of-gods

ΜΕΛΙΣΣΩ ΘΗΒΑΙΩ ΠΑΓΚΡΑΤΙΩ

IV · FOR MELISSUS OF THEBES

The Cleonymidae flourish, though in one day the storm of war took four of their men. Now they bloom again like spring roses. Homer preserved the fame of Ajax. The poet praises Melissus, victor in the pancratium, small of stature but brave, like Heracles, who wrestled Antaeus and now dwells on Olympus. At the Theban festival for Heracles and his eight dead sons, Melissus won twice, trusting his trainer's counsel, and the poet will celebrate him with Orseas.

Ἔστι μοι θεῶν ἕκατι μυρία παντᾷ κέλευθος·
There-is for-me gods by-favor countless every-way road
ὦ Μέλισσ', εὐμαχανίαν γὰρ ἔφανας Ἰσθμίοις
O Melissus resource for you-showed at-the-Isthmian-games
ὑμετέρας ἀρετὰς ὕμνῳ διώκειν·
your excellences in-hymn to-pursue
αἷσι Κλεωνυμίδαι θάλλοντες αἰεὶ
with-which the-Cleonymidae flourishing always
σὺν θεῷ θνατὸν διέρχονται βιότου τέλος. 5
with god mortal pass-through of-life the-end
ἄλλοτε δ' ἀλλοῖος οὖρος
at-other-times and various breeze
πάντας ἀνθρώπους ἐπαΐσσων ἐλαύνει.
all men rushing-upon drives

τοὶ μὲν ὧν Θήβαισι τιμάεντες ἀρχᾶθεν λέγονται
they indeed then at-Thebes honored from-the-beginning are-said
πρόξενοί τ' ἀμφικτιόνων κελαδεννᾶς τ' ὀρφανοὶ
protectors and of-neighbors of-loud-sounding and bereft
ὕβριος· ὅσσα δ' ἐπ' ἀνθρώπους ἄηται
insolence as-many-as and among men blow
μαρτύρια φθιμένων ζωῶν τε φωτῶν
testimonies of-dead of-living and men
ἀπλέτου δόξας, ἐπέψαυσαν κατὰ πᾶν τέλος·
of-boundless glory they-touched in every way
ἀνορέαις δ' ἐσχάταισιν
with-manly-deeds and utmost
οἴκοθεν στάλαισιν ἅπτονθ' Ἡρακλείαις·
from-home pillars they-touch Heracles'

καὶ μηκέτι μακροτέραν σπεύδειν ἀρετάν.
and no-longer farther to-pursue excellence
ἱπποτρόφοι τ' ἐγένοντο,
horse-rearers and they-became
χαλκέῳ τ' Ἄρει ἄδον.
to-bronze and Ares pleased
ἀλλ' ἀμέρᾳ γὰρ ἐν μιᾷ
but day for in one
τραχεῖα νιφὰς πολέμοιο τεσσάρων
harsh snowstorm of-war of-four
ἀνδρῶν ἐρήμωσεν μάκαιραν ἑστίαν·
men bereft blessed hearth

νῦν δ' αὖ μετὰ χειμέριον ποικίλων μηνῶν ζόφον
now and again after wintry of-dappled months darkness
χθὼν ὥτε φοινικέοισιν ἄνθησεν ῥόδοις
earth as with-crimson bloomed roses

δαιμόνων βουλαῖς. ὁ κινητὴρ δὲ γᾶς Ὀγχηστὸν οἰκέων
of-gods by-counsels the mover and of-earth Onchestus dwelling-in
καὶ γέφυραν ποντιάδα πρὸ Κορίνθου τειχέων,
and bridge sea before of-Corinth walls
τόνδε πορὼν γενεᾷ θαυμαστὸν ὕμνον
this granting to-the-race wondrous hymn
ἐκ λεχέων ἀνάγει φάμαν παλαιὰν
from beds raises-up fame ancient
εὐκλέων ἔργων· ἐν ὕπνῳ γὰρ πέσεν·
of-glorious deeds in sleep for it-fell
ἀλλ' ἀνεγειρομένα χρῶτα λάμπει,
but roused in-body shines
Ἀωσφόρος θαητὸς ὡς ἄστροις ἐν ἄλλοις·
Morning-star wondrous like stars among others

ἅ τε κἀν γουνοῖς Ἀθανᾶν ἅρμα καρύξαισα νικᾶν
which — also-on hills of-Athens chariot proclaiming to-win
ἔν τ' Ἀδραστείοις ἀέθλοις Σικυῶνος ὤπασεν
in and Adrastean games of-Sicyon granted
τοιάδε τῶν τότ' ἐόντων φύλλ' ἀοιδᾶν.
such of-the then living leaves of-songs

οὐδὲ παναγυρίων ξυνᾶν ἀπεῖχον
nor from-festivals common did-they-keep
καμπύλον δίφρον, Πανελλάνεσσι δ' ἐριζόμενοι
curved chariot with-all-Greeks and contending
δαπάνᾳ χαῖρον ἵππων.
with-the-expense rejoiced of-horses
τῶν ἀπειράτων γὰρ ἄγνωστοι σιωπαί,
of-the untried for unknown silences

ἔστιν δ' ἀφάνεια τύχας καὶ μαρναμένων,
there-is and obscurity of-fortune even of-those-fighting
πρὶν τέλος ἄκρον ἱκέσθαι·
before end highest to-reach
τῶν τε γὰρ καὶ τῶν διδοῖ·
of-these both for and of-those she-gives
καὶ κρέσσον' ἀνδρῶν χειρόνων
and stronger of-men worse
ἔσφαλε τέχνα καταμάρψαισ'. ἴστε μὰν
trips skill overtaking you-know indeed
Αἴαντος ἀλκὰν φοίνιον, τὰν ὀψίᾳ
of-Ajax valor bloody which late
ἐν νυκτὶ ταμὼν περὶ ᾧ φασγάνῳ, μομφὰν ἔχει
in night cutting about his-own sword blame he-has
παίδεσσιν Ἑλλάνων ὅσοι Τρῴανδ' ἔβαν.
for-the-sons of-the-Greeks as-many-as to-Troy went

ἀλλ᾽ Ὅμηρός τοι τετίμακεν δι᾽ ἀνθρώπων, ὃς αὐτοῦ
but Homer you-know has-honored among men who his
πᾶσαν ὀρθώσαις ἀρετὰν κατὰ ῥάβδον ἔφρασεν
all having-set-upright excellence by staff told
θεσπεσίων ἐπέων λοιποῖς ἀθύρειν.
of-divine words for-later-men to-play
τοῦτο γὰρ ἀθάνατον φωνᾶεν ἕρπει,
this for immortal sounding goes
εἴ τις εὖ εἴπῃ τι· καὶ πάγκαρπον
if anyone well says something and all-fruitful
ἐπὶ χθόνα καὶ διὰ πόντον βέβακεν
over earth and over sea has-gone
ἐργμάτων ἀκτὶς καλῶν ἄσβεστος αἰεί.
of-deeds the-ray noble unquenchable always

προφρόνων Μοισᾶν τύχοιμεν, κεῖνον ἅψαι πυρσὸν ὕμνων
of-willing Muses may-we-meet that to-kindle beacon of-hymns
καὶ Μελίσσῳ, παγκρατίου στεφάνωμ᾽ ἐπάξιον,
also for-Melissus of-the-pancratium a-crown worthy
ἔρνεϊ Τελεσιάδα. τόλμᾳ γὰρ εἰκὼς
for-the-scion of-Telesiades in-daring for like
θυμὸν ἐριβρεμετᾶν θηρῶν λεόντων
in-heart of-loud-roaring beasts lions
ἐν πόνῳ, μῆτιν δ᾽ ἀλώπηξ, αἰετοῦ
in toil in-cunning and a-fox of-an-eagle
ἅ τ᾽ ἀναπιταμένα ῥόμβον ἴσχει.
who — spreading swoop checks
χρὴ δὲ πᾶν ἔρδοντα μαυρῶσαι τὸν ἐχθρόν.
it-is-needful and everything doing to-obscure the enemy

οὐ γὰρ φύσιν Ὠαριωνείαν ἔλαχεν·
not for nature Orion's he-got
ἀλλ' ὀνοτὸς μὲν ἰδέσθαι,
but contemptible indeed to-look-at
συμπεσεῖν δ' ἀκμᾷ βαρύς.
to-close-with but in-strength heavy
καίτοι πότ' Ἀνταίου δόμους
yet once of-Antaeus to-the-house
Θηβᾶν ἀπὸ Καδμεϊᾶν μορφὰν βραχύς, ψυχὰν δ'
Thebes from Cadmean in-form short in-soul but
ἄκαμπτος, προσπαλαίσων ἦλθ' ἀνὴρ
unbending to-wrestle came a-man
τὰν πυροφόρον Λιβύαν, κρανίοις ὅφρα ξένων
to-the wheat-bearing Libya with-skulls so-that of-strangers
ναὸν Ποσειδάωνος ἐρέφοντα σχέθοι,
temple of-Poseidon roofing he-might-stop

υἱὸς Ἀλκμήνας· ὃς Οὐλυμπόνδ' ἔβα, γαίας τε πάσας
the-son of-Alcmena who to-Olympus went of-earth and all
καὶ βαθύκρημνον πολιᾶς ἁλὸς ἐξευρὼν θέναρ,
and steep-cliffed of-gray sea having-searched-out the-floor
ναυτιλίαισί τε πορθμὸν ἁμερώσαις.
for-seafaring and strait having-tamed

νῦν δὲ παρ᾽ Αἰγιόχῳ κάλλιστον ὄλβον
now and beside the-Aegis-bearer fairest prosperity
ἀμφέπων ναίει, τετίματαί τε πρὸς ἀθανάτων
tending dwells is-honored and by the-immortals
φίλος, Ἥβαν τ᾽ ὀπυίει,
friend Youth and he-weds
χρυσέων οἴκων ἄναξ καὶ γαμβρὸς Ἥρας.
of-golden houses lord and son-in-law of-Hera

τῷ μὲν Ἀλεκτρᾶν ὕπερθεν δαῖτα πορσύνοντες ἀστοὶ
to-him indeed the-Electran-gates above feast preparing citizens
καὶ νεόδματα στεφανώματα βωμῶν αὔξομεν
and newly-built crowns of-altars we-increase
ἔμπυρα χαλκοαρᾶν ὀκτὼ θανόντων,
burnt-offerings of-bronze-armed eight dead
τοὺς Μεγάρα τέκε οἱ Κρειοντὶς υἱούς·
whom Megara bore to-him daughter-of-Creon sons
τοῖσιν ἐν δυθμαῖσιν αὐγᾶν φλὸξ ἀνατελλομένα
for-whom at the-setting of-rays flame rising
συνεχὲς παννυχίζει
continuously keeps-vigil-all-night
αἰθέρα κνισάεντι λακτίζοισα καπνῷ,
the-sky with-savory kicking smoke

καὶ δεύτερον ἅμαρ ἐτείων τέρμ᾽ ἀέθλων
and second day of-annual end games
γίνεται, ἰσχύος ἔργον.
is of-strength the-work

ἔνθα λευκωθεὶς κάρα
there whitened in-head
μύρτοις ὅδ᾽ ἀνὴρ διπλόαν
with-myrtles this man double
νίκαν ἀνεφάνατο παίδων τε τρίταν πρόσθεν,
victory won of-boys and third before
κυβερνατῆρος οἰακοστρόφου
of-the-helmsman steering
γνώμᾳ πεπιθὼν πολυβούλῳ. σὺν Ὀρσέᾳ δέ νιν
by-the-counsel trusting much-counseling with Orseas and him
κωμάξομαι, τερπνὰν ἐπιστάζων χάριν.
I-will-celebrate delightful dropping grace

ΦΥΛΑΚΙΔΑ ΑΙΓΙΝΗΤΗ ΠΑΓΚΡΑΤΙΩ

V · FOR PHYLACIDAS OF AEGINA

The poet invokes Theia, mother of the Sun, through whom men honor gold and contests. Good fortune and good report are the flower of life, and no one should seek to become Zeus. He praises Phylacidas and his brother Pytheas, victors in the pancratium. Aegina honors the Aeacidae, who twice sacked Troy and killed Cycnus, Hector, and Memnon. Aegina fought well at Salamis, but boasting is best drenched in silence. Pytheas guided his brother's blows.

Μᾶτερ Ἁλίου πολυώνυμε Θεία,
Mother of-the-Sun many-named Theia
σέο ἕκατι καὶ μεγασθενῆ νόμισαν
you for-the-sake-of even mighty consider
χρυσὸν ἄνθρωποι περιώσιον ἄλλων·
gold men above others
καὶ γὰρ ἐριζόμεναι
and for contending
νᾶες ἐν πόντῳ καὶ ὑφ᾽ ἅρμασιν ἵπποι
ships on sea and under chariots horses
διὰ τεάν, ὄνασσα, τιμὰν ὠκυδινάτοις
through your queen honor swift-whirling
ἐν ἀμίλλαισι θαυμασταὶ πέλονται·
in contests wondrous become

ἔν τ᾽ ἀγωνίοις ἀέθλοισι ποθεινὸν
in and competitive contests longed-for
κλέος ἔπραξεν, ὅντιν᾽ ἀθρόοι στέφανοι
glory has-won whom thronging crowns
χερσὶ νικάσαντ᾽ ἀνέδησαν ἔθειραν
by-hands having-won have-wreathed hair
ἢ ταχυτᾶτι ποδῶν.
or by-speed of-feet
κρίνεται δ᾽ ἀλκὰ διὰ δαίμονας ἀνδρῶν.
is-decided and valor through the-gods of-men
δύο δέ τοι ζωᾶς ἄωτον μοῦνα ποιμαίνοντι
two and you-know of-life the-flower alone foster
τὸν ἄλπνιστον εὐανθεῖ σὺν ὄλβῳ,
the loveliest flowering with prosperity

εἴ τις εὖ πάσχων λόγον ἐσλὸν ἀκούῃ.
if one well faring report good hears
μὴ μάτευε Ζεὺς γενέσθαι· πάντ᾽ ἔχεις,
not seek Zeus to-become all you-have
εἴ σε τούτων μοῖρ᾽ ἐφίκοιτο καλῶν.
if you of-these fate should-reach noble-things
θνατὰ θνατοῖσι πρέπει.
mortal-things for-mortals befit
τὶν δ᾽ ἐν Ἰσθμῷ διπλόα θάλλοισ᾽ ἀρετά,
for-you and at Isthmus double flourishing excellence
Φυλακίδα, κεῖται, Νεμέᾳ δὲ καὶ ἀμφοῖν,
Phylacidas is-laid-up at-Nemea and also for-both

Πυθέᾳ τε παγκρατίου. τὸ δ' ἐμὸν
for-Pytheas and of-the-pancratium the and my
οὐκ ἄτερ Αἰακιδᾶν κέαρ ὕμνων γεύεται·
not without the-Aeacidae heart hymns tastes
σὺν Χάρισιν δ' ἔμολον Λάμπωνος υἱοῖς
with Graces and I-came of-Lampon for-the-sons

τάνδ' ἐς εὔνομον πόλιν. εἰ δὲ τέτραπται
this into well-ordered city if and it-has-turned
θεοδότων ἔργων κέλευθον ἂν καθαράν,
of-god-given deeds road along pure
μὴ φθόνει κόμπον τὸν ἐοικότ' ἀοιδᾷ
not grudge boast the fitting for-song
κιρνάμεν ἀντὶ πόνων.
to-mix in-return-for toils
καὶ γὰρ ἡρώων ἀγαθοὶ πολεμισταὶ
and for of-heroes good warriors
λόγον ἐκέρδαναν, κλέονται δ' ἔν τε φορμίγγεσσιν
renown gained they-are-famed and in both lyres
ἐν αὐλῶν τε παμφώνοις ὁμοκλαῖς
in of-pipes and all-voiced harmonies

μυρίον χρόνον· μελέταν δὲ σοφισταῖς
countless time a-theme and for-poets
Διὸς ἔκατι πρόσβαλον σεβιζόμενοι·
Zeus by-favor they-furnished being-revered

ἐν μὲν Αἰτωλῶν θυσίαισι φαενναῖς
in indeed of-the-Aetolians sacrifices bright
Οἰνεΐδαι κρατεροί,
the-sons-of-Oeneus mighty
ἐν δὲ Θήβαις ἱπποσόας Ἰόλαος
in and Thebes horse-driving Iolaus
γέρας ἔχει, Περσεὺς δ' ἐν Ἄργει, Κάστορος δ' αἰχμὰ
honor has Perseus and in Argos of-Castor and the-spear
Πολυδεύκεος τ' ἐπ' Εὐρώτα ῥεέθροις.
of-Polydeuces and by of-Eurotas streams

ἀλλ' ἐν Οἰνώνᾳ μεγαλήτορες ὀργαὶ
but in Oenone great-hearted spirits
Αἰακοῦ παίδων τε· τοὶ καὶ σὺν μάχαις
of-Aeacus of-the-sons and who also with battles
δὶς πόλιν Τρώων πράθον ἑσπόμενοι
twice city of-the-Trojans sacked following
Ἡρακλῆϊ πρότερον,
Heracles before
καὶ σὺν Ἀτρείδαις. ἔλα νῦν μοι πεδόθεν·
and with the-sons-of-Atreus drive now for-me from-the-ground
λέγε, τίνες Κύκνον, τίνες Ἕκτορα πέφνον,
tell who Cycnus who Hector slew
καὶ στράταρχον Αἰθιόπων ἄφοβον
and leader of-the-Ethiopians fearless
Μέμνονα χαλκοάραν· τίς ἄρ' ἐσλὸν Τήλεφον
Memnon bronze-armed who then good Telephus
τρῶσεν ἑᾷ δορὶ Καΐκου παρ' ὄχθαις;
wounded with-his spear of-Caicus by banks

τοῖσιν Αἴγιναν προφέρει στόμα πάτραν
for-whom Aegina proclaims mouth fatherland
διαπρεπέα νᾶσον· τετείχισται δὲ πάλαι
conspicuous island has-been-walled and of-old
πύργος ὑψηλαῖς ἀρεταῖς ἀναβαίνειν.
a-tower with-lofty excellences to-climb
πολλὰ μὲν ἀρτιεπὴς
many indeed ready-spoken
γλῶσσά μοι τοξεύματ' ἔχει περὶ κείνων
tongue my arrows has about them
κελαδέσαι· καὶ νῦν ἐν Ἄρει μαρτυρήσαι κεν
to-sound and now in Ares could-bear-witness —
πόλις Αἴαντος ὀρθωθεῖσα ναύταις
the-city of-Ajax set-upright by-sailors

ἐν πολυφθόρῳ Σαλαμὶς Διὸς ὄμβρῳ
in much-destroying Salamis of-Zeus storm
ἀναρίθμων ἀνδρῶν χαλαζάεντι φόνῳ.
of-countless men hail-like slaughter
ἀλλ' ὅμως καύχημα κατάβρεχε σιγᾷ·
but nevertheless boasting drench with-silence
Ζεὺς τά τε καὶ τὰ νέμει,
Zeus these and also those dispenses
Ζεὺς ὁ πάντων κύριος. ἐν δ' ἐρατεινῷ
Zeus the of-all lord in and lovely
μέλιτι καὶ τοιαίδε τιμαὶ καλλίνικον χάρμ'
honey also such honors glorious-victory joy
ἀγαπάζοντι. μαρνάσθω τις ἔρδων
welcome let-strive anyone doing

ἀμφ᾽ ἀέθλοισιν γενεὰν Κλεονίκου
about contests the-race of-Cleonicus
ἐκμαθών· οὔτοι τετύφλωται μακρὸς
learning-thoroughly not-at-all is-blinded long
μόχθος ἀνδρῶν· οὐδ᾽ ὁπόσαι δαπάναι
toil of-men nor how-many expenses
ἐλπίδων ἔκνισ᾽ ὄπιν.
of-hopes vexed regard
αἰνέω καὶ Πυθέαν ἐν γυιοδάμαις
I-praise also Pytheas among limb-subduers
Φυλακίδᾳ πλαγᾶν δρόμον εὐθυπορῆσαι
for-Phylacidas of-blows course to-have-directed-straight
χερσὶ δεξιόν, νόῳ ἀντίπαλον.
with-hands skillful in-mind a-match
λάμβανέ οἱ στέφανον, φέρε δ᾽ εὔμαλλον μίτραν,
take for-him a-crown bring and woolly fillet
καὶ πτερόεντα νέον σύμπεμψον ὕμνον.
and winged new send-along hymn

ΦΥΛΑΚΙΔΑ ΑΙΓΙΝΗΤΗ ΠΑΓΚΡΑΤΙΩ

VI · FOR PHYLACIDAS OF AEGINA

As at a drinking party the second bowl is mixed, so the poet mixes a second song for Lampon's sons, now for Phylacidas at the Isthmus, and hopes for a third at Olympia. Heracles came to fetch Telamon for the war against Troy. He prayed that Telamon have a son as tough as his lion skin, and Zeus sent an eagle, after which Ajax was named. The poet lists the family's pancratium victories and praises Lampon, who follows Hesiod's precept.

Θάλλοντος ἀνδρῶν ὡς ὅτε συμποσίου
Of-flourishing of-men as when a-drinking-party
δεύτερον κρητῆρα Μοισαίων μελέων
second bowl of-Muses' songs
κίρναμεν Λάμπωνος εὐάθλου γενεᾶς
we-mix of-Lampon of-prize-winning race
ὕπερ, ἐν Νεμέᾳ μὲν πρῶτον, ὦ Ζεῦ,
on-behalf at Nemea indeed first O Zeus
τίν γ' ἄωτον δεξάμενοι στεφάνων,
from-you indeed the-flower having-received of-crowns
νῦν αὖτε Ἰσθμοῦ δεσπότᾳ
now again of-the-Isthmus to-the-lord
Νηρεΐδεσσί τε πεντήκοντα, παίδων ὁπλοτάτου
to-the-Nereids and fifty of-the-sons the-youngest
Φυλακίδα νικῶντος. εἴη δὲ τρίτον
Phylacidas winning may-it-be and a-third
σωτῆρι πορσαίνοντας Ὀλυμπίῳ Αἴγιναν κάτα
for-the-Savior preparing Olympian Aegina throughout
σπένδειν μελιφθόγγοις ἀοιδαῖς.
to-pour-libation with-honey-voiced songs

εἰ γάρ τις ἀνθρώπων δαπάνᾳ τε χαρεὶς
if for any of-men in-expense both rejoicing
καὶ πόνῳ πράσσει θεοδμάτους ἀρετάς,
and in-toil achieves god-built excellences
σύν τέ οἱ δαίμων φυτεύει δόξαν ἐπήρατον,
with and for-him god plants fame lovely
ἐσχατιαῖς ἤδη πρὸς ὄλβου
the-farthest-limits already at of-prosperity
βάλλετ' ἄγκυραν θεότιμος ἐών.
casts anchor god-honored being
τοίαισιν ὀργαῖς εὔχεται
with-such tempers he-prays
ἀντιάσαις Ἀΐδαν γῆράς τε δέξασθαι πολιὸν
meeting Hades old-age and to-receive gray
ὁ Κλεονίκου παῖς· ἐγὼ δ' ὑψίθρονον
the of-Cleonicus son I and high-throned
Κλωθὼ κασιγνήτας τε προσεννέπω ἑσπέσθαι κλυταῖς
Clotho sisters and I-call-upon to-follow glorious
ἀνδρὸς φίλου Μοίρας ἐφετμαῖς.
of-a-man dear the-Fates commands

ὔμμε τ', ὦ χρυσάρματοι Αἰακίδαι,
you and O golden-charioted Aeacidae
τέθμιόν μοι φαμὶ σαφέστατον ἔμμεν
ordinance for-me I-say clearest to-be
τάνδ' ἐπιστείχοντα νᾶσον ῥαινέμεν εὐλογίαις.
this setting-foot-on island to-sprinkle with-praises
μυρίαι δ' ἔργων καλῶν τέτμηνθ' ἑκατόμπεδοι ἐν σχερῷ κέλευθοι,
countless and of-deeds noble are-cut hundred-foot in succession roads

καὶ πέραν Νείλοιο παγᾶν καὶ δι᾽ Ὑπερβορέους·
both beyond of-the-Nile springs and through the-Hyperboreans
οὐδ᾽ ἔστιν οὕτω βάρβαρος οὔτε παλίγγλωσσος πόλις,
nor is so barbarous nor strange-tongued city
ἅτις οὐ Πηλέος ἀΐει κλέος ἥρωος, εὐδαίμονος γαμβροῦ θεῶν,
which not of-Peleus hears the-fame of-the-hero blessed son-in-law of-the-gods

οὐδ᾽ ἅτις Αἴαντος Τελαμωνιάδα
nor which of-Ajax son-of-Telamon
καὶ πατρός· τὸν χαλκοχάρμαν ἐς πόλεμον
and of-the-father whom bronze-armed to war
ἆγε σὺν Τιρυνθίοισι πρόφρονα σύμμαχον
led with Tirynthians willing ally
ἐς Τρωΐαν, ἥρωσι μόχθον,
to Troy for-heroes a-toil
Λαομεδοντίαν ὑπὲρ ἀμπλακίαν
Laomedon's for wrong
ἐν ναυσὶν Ἀλκμήνας τέκος.
in ships of-Alcmena the-child
εἷλε δὲ Περγαμίαν, πέφνεν δὲ σὺν κείνῳ Μερόπων
he-took and Pergamum slew and with him of-the-Meropes
ἔθνεα καὶ τὸν βουβόταν οὔρειϊ ἴσον
the-tribes and the herdsman to-a-mountain equal
Φλέγραισιν εὑρὼν Ἀλκυονῆ, σφετέρας δ᾽ οὐ φείσατο
at-Phlegra finding Alcyoneus his-own and not spared
χερσὶν βαρυφθόγγοιο νευρᾶς
with-hands deep-voiced bowstring

Ἡρακλέης. ἀλλ᾽ Αἰακίδαν καλέων
Heracles but the-son-of-Aeacus calling
ἐς πλόον κεῖνον κύρησε δαινυμένων.
to voyage that he-came-upon them-feasting
τὸν μὲν ἐν ῥινῷ λέοντος στάντα κελήσατο
him indeed in hide of-a-lion standing bade
νεκταρέαις σπονδαῖσιν ἄρξαι
with-nectarous libations to-begin
καρτεραίχμαν Ἀμφιτρυωνιάδαν,
the-mighty-spearman son-of-Amphitryon
ἄνδωκε δ᾽ αὐτῷ φέρτατος
handed and to-him the-mightiest
οἰνοδόκον φιάλαν χρυσῷ πεφρικυῖαν Τελαμών,
wine-receiving bowl with-gold rough Telamon
ὁ δ᾽ ἀνατείναις οὐρανῷ χεῖρας ἀμάχους
he and raising to-heaven hands invincible
αὔδασε τοιοῦτον ἔπος· "Εἴ ποτ᾽ ἐμάν, ὦ Ζεῦ πάτερ,
uttered such word If ever my O Zeus father
θυμῷ ἐθέλων ἀρὰν ἄκουσας,
with-heart willing prayer you-heard

νῦν σε, νῦν εὐχαῖς ὑπὸ θεσπεσίαις
now you now prayers with divine
λίσσομαι παῖδα θρασὺν ἐξ Ἐριβοίας
I-beseech son bold from Eriboea
ἀνδρὶ τῷδε, ξεῖνον ἀμὸν μοιρίδιον τελέσαι,
for-man this guest my fated to-bring-to-pass

τὸν μὲν ἄρρηκτον φυάν, ὥσπερ τόδε δέρμα με νῦν περιπλανᾶται
him indeed unbreakable in-frame as this skin me now wraps-around
θηρός, ὃν πάμπρωτον ἄθλων κτεῖνά ποτ' ἐν Νεμέᾳ·
of-the-beast which first of-labors I-killed once in Nemea
θυμὸς δ' ἐπέσθω." ταῦτ' ἄρα οἱ φαμένῳ πέμψεν θεὸς
spirit and let-follow these-things then to-him speaking sent the-god
ἀρχὸν οἰωνῶν μέγαν αἰετόν· ἁδεῖα δ' ἔνδον νιν ἔκνιξεν χάρις,
ruler of-birds great eagle sweet and within him thrilled delight

εἶπέν τε φωνήσαις ἅτε μάντις ἀνήρ·
said and speaking like seer man
"Ἔσσεταί τοι παῖς, ὃν αἰτεῖς, ὦ Τελαμών·
There-will-be to-you a-son whom you-ask O Telamon
καί νιν ὄρνιχος φανέντος κέκλε' ἐπώνυμον
and him the-bird having-appeared call named
εὐρυβίαν Αἴαντα, λαῶν
wide-ruling Ajax of-the-people
ἐν πόνοις ἔκπαγλον Ἐνυαλίου."
in toils terrible of-Enyalius
ὣς ἆρα εἰπὼν αὐτίκα
so then having-spoken at-once
ἕζετ'. ἐμοὶ δὲ μακρὸν πάσας ἀναγήσασθ' ἀρετάς·
sat for-me and long all to-recount excellences
Φυλακίδᾳ γὰρ ἦλθον, ὦ Μοῖσα, ταμίας
for-Phylacidas for I-came O Muse steward
Πυθέᾳ τε κώμων Εὐθυμένει τε. τὸν Ἀργείων τρόπον
for-Pytheas and of-revels for-Euthymenes and in-the of-the-Argives manner
εἰρήσεταί που κἀν βραχίστοις.
it-will-be-said somehow also-in briefest

ἄραντο γὰρ νίκας ἀπὸ παγκρατίου
they-won for victories from the-pancratium
τρεῖς ἀπ' Ἰσθμοῦ, τὰς δ' ἀπ' εὐφύλλου Νεμέας,
three from Isthmus others and from leafy Nemea
ἀγλαοὶ παῖδές τε καὶ μάτρως· ἀνὰ δ'
glorious the-sons both and maternal-uncle up and
ἄγαγον ἐς φάος οἵαν μοῖραν ὕμνων·
brought to light what lot of-hymns
τὰν Ψαλυχιδᾶν δὲ πάτραν Χαρίτων
the of-the-Psalychidae and clan of-the-Graces
ἄρδοντι καλλίστᾳ δρόσῳ,
they-water with-fairest dew
τόν τε Θεμιστίου ὀρθώσαντες οἶκον τάνδε πόλιν
the and of-Themistius setting-up house this city
θεοφιλῆ ναίοισι. Λάμπων δὲ μελέταν
god-loved they-inhabit Lampon and care
ἔργοις ὀπάζων Ἡσιόδου μάλα τιμᾷ τοῦτ' ἔπος,
to-deeds granting of-Hesiod greatly honors this word
υἱοῖσί τε φράζων παραινεῖ,
to-his-sons and declaring advises

ξυνὸν ἄστει κόσμον ἑῷ προσάγων,
common to-the-city ornament his bringing
καὶ ξένων εὐεργεσίαις ἀγαπᾶται,
and of-strangers for-kindnesses is-loved
μέτρα μὲν γνώμᾳ διώκων, μέτρα δὲ καὶ κατέχων·
measure indeed in-mind pursuing measure and also holding

γλῶσσα δ᾽ οὐκ ἔξω φρενῶν· φαίης κέ νιν
tongue and not outside his-mind you-would-say — him
ἀνδράσιν ἀθληταῖσιν ἔμμεν
among-men athletes to-be
Ναξίαν πέτραις ἐν ἄλλαις χαλκοδάμαντ᾽ ἀκόναν.
Naxian stones among others bronze-subduing whetstone
πίσω σφε Δίρκας ἁγνὸν ὕδωρ, τὸ βαθύζωνοι κόραι
I-will-give-to-drink them of-Dirce holy water which deep-girdled daughters
χρυσοπέπλου Μναμοσύνας ἀνέτειλαν
of-golden-robed Mnemosyne made-to-rise
παρ᾽ εὐτειχέσιν Κάδμου πύλαις.
by well-walled of-Cadmus gates

ΣΤΡΕΨΙΑΔΗ ΘΗΒΑΙΩ ΠΑΓΚΡΑΤΙΩ

VII · FOR STREPSIADES OF THEBES

The poet asks Thebes which of its glories pleased it most: Dionysus, Heracles, Teiresias, Iolaus, or the Sown Men. Men forget what song does not preserve. He praises Strepsiades, victor in the pancratium, and his uncle and namesake, who died in battle for his country. The poet grieved, but Poseidon now brings fair weather. Pegasus threw Bellerophon when he tried to reach heaven, and the poet prays to Apollo for a Pythian crown.

Τίνι τῶν πάρος, ὦ μάκαιρα Θήβα,
In-which of-the former O blessed Theba
καλῶν ἐπιχωρίων μάλιστα θυμὸν τεὸν
noble-things local most heart your
εὔφρανας; ἦ ῥα χαλκοκρότου πάρεδρον
did-you-gladden truly then of-bronze-clashing companion
Δαμάτερος ἀνίκ᾽ εὐρυχαίταν
Demeter when wide-haired
5 ἄντειλας Διόνυσον; ἢ χρυσῷ μεσονύκτιον
you-brought-forth Dionysus or with-gold at-midnight
νίφοντα δεξαμένα τὸν φέρτατον θεῶν,
snowing receiving the mightiest of-gods

ὁπότ᾽ Ἀμφιτρύωνος ἐν θυρέτροις
when of-Amphitryon in doorway
σταθεὶς ἄλοχον μετῆλθεν Ἡρακλείοις γοναῖς;
standing the-wife he-visited for-Heraclean offspring
ἢ ὅτ᾽ ἀμφὶ πυκναῖς Τειρεσίαο βουλαῖς;
or when about shrewd of-Teiresias counsels

ἢ ὅτ᾽ ἀμφ᾽ Ἰόλαον ἱππόμητιν;
or when about Iolaus horse-skilled
ἢ Σπαρτῶν ἀκαμαντολογχᾶν; ἢ ὅτε καρτερᾶς
or of-the-Sown-men of-unwearied-spears or when mighty
Ἄδραστον ἐξ ἀλαλᾶς ἄμπεμψας ὀρφανὸν
Adrastus from war-cry you-sent-back bereft

μυρίων ἑτάρων ἐς Ἄργος ἵππιον;
of-countless companions to Argos horse-pasturing
ἢ Δωρίδ᾽ ἀποικίαν οὔνεκεν ὀρθῷ
or Dorian colony because upright
ἔστασας ἐπὶ σφυρῷ
you-set on ankle
Λακεδαιμονίων, ἕλον δ᾽ Ἀμύκλας
of-the-Lacedaemonians took and Amyclae
Αἰγεῖδαι σέθεν ἔκγονοι, μαντεύμασι Πυθίοις;
the-Aegeidae your descendants by-oracles Pythian
ἀλλὰ παλαιὰ γὰρ
but ancient for
εὕδει χάρις, ἀμνάμονες δὲ βροτοί,
sleeps grace forgetful and mortals

ὅ τι μὴ σοφίας ἄωτον ἄκρον
what ever not of-skill the-flower highest
κλυταῖς ἐπέων ῥοαῖσιν ἐξίκηται ζυγέν.
with-glorious of-words streams reaches yoked

κώμαζ᾽ ἔπειτεν ἁδυμελεῖ σὺν ὕμνῳ
revel then sweet-melodied with hymn
καὶ Στρεψιάδᾳ· φέρει γὰρ Ἰσθμοῖ
also for-Strepsiades he-bears for at-Isthmus
νίκαν παγκρατίου· σθένει τ᾽ ἔκπαγλος ἰδεῖν τε
victory of-the-pancratium in-strength and terrible to-see and
μορφάεις· ἄγει τ᾽ ἀρετὰν οὐκ αἴσχιον φυᾶς.
fair-formed he-brings and excellence not baser than-his-nature

φλέγεται δὲ ἰοπλόκοισι Μοίσαις,
he-is-lit-up and by-the-violet-haired Muses
μάτρωΐ θ᾽ ὁμωνύμῳ δέδωκε κοινὸν θάλος,
to-the-uncle and namesake he-has-given common bloom
χάλκασπις ᾧ πότμον μὲν Ἄρης ἔμιξεν,
the-bronze-shielded for-whom doom indeed Ares mingled
τιμὰ δ᾽ ἀγαθοῖσιν ἀντίκειται.
honor and for-the-good is-laid-up-in-return
ἴστω γὰρ σαφὲς ὅστις ἐν ταύτᾳ νεφέλᾳ χάλαζαν
let-him-know for clearly whoever in this cloud hail
αἵματος πρὸ φίλας πάτρας ἀμύνεται,
of-blood for dear fatherland wards-off

λοιγὸν ἄντα φέρων ἐναντίῳ στρατῷ,
ruin against bringing to-the-opposing host
ἀστῶν γενεᾷ μέγιστον κλέος αὔξων
of-citizens for-the-race greatest glory increasing
ζώων τ᾽ ἀπὸ καὶ θανών.
living and off and having-died

τὺ δέ, Διοδότοιο παῖ, μαχατὰν
you and of-Diodotus son warrior
αἰνέων Μελέαγρον, αἰνέων δὲ καὶ Ἕκτορα
praising Meleager praising and also Hector
Ἀμφιάρηόν τε,
Amphiaraus and
εὐανθέ' ἀπέπνευσας ἁλικίαν
flowering you-breathed-out youth

προμάχων ἀν' ὅμιλον, ἔνθ' ἄριστοι
of-the-foremost through throng where the-best
ἔσχον πολέμοιο νεῖκος ἐσχάταις ἐλπίσιν.
sustained of-war the-strife in-utmost hopes
ἔτλαν δὲ πένθος οὐ φατόν· ἀλλὰ νῦν μοι
they-endured and grief not utterable but now for-me
Γαιάοχος εὐδίαν ὄπασσεν
the-Earth-holder fair-weather granted
ἐκ χειμῶνος. ἀείσομαι χαίταν στεφάνοισιν ἁρμόσαις.
from storm I-will-sing hair with-crowns fitting
ὁ δ' ἀθανάτων μὴ θρασσέτω φθόνος,
the and of-immortals not let-disturb envy

ὅ τι τερπνὸν ἐφάμερον διώκων
what ever delightful daily pursuing
ἕκαλος ἔπειμι γῆρας ἔς τε τὸν μόρσιμον
quietly I-approach old-age to and the fated
αἰῶνα. θνάσκομεν γὰρ ὁμῶς ἅπαντες·
life we-die for alike all

δαίμων δ' ἄϊσος· τὰ μακρὰ δ' εἴ τις
fortune but unequal the far-things and if anyone
παπταίνει, βραχὺς ἐξικέσθαι χαλκόπεδον θεῶν
gazes-at too-short to-reach the-bronze-floored of-gods
ἕδραν· ὅτι πτερόεις ἔρριψε Πάγασος
seat since winged threw Pegasus

δεσπόταν ἐθέλοντ' ἐς οὐρανοῦ σταθμοὺς
his-master wishing to of-heaven steadings
ἐλθεῖν μεθ' ὁμάγυριν Βελλεροφόνταν
to-go among the-gathering Bellerophon
Ζηνός· τὸ δὲ πὰρ δίκαν
of-Zeus the and beyond justice
γλυκὺ πικροτάτα μένει τελευτά.
sweet most-bitter awaits end
ἄμμι δ', ὦ χρυσέᾳ κόμᾳ θάλλων, πόρε, Λοξία,
for-us and O with-golden hair flourishing grant Loxias
τεαῖσιν ἁμίλλαισιν
at-your contests
εὐανθέα καὶ Πυθοῖ στέφανον.
flowering also at-Pytho crown

ΚΛΕΑΝΔΡΩ ΑΙΓΙΝΗΤΗ ΠΑΓΚΡΑΤΙΩ

VIII · FOR CLEANDER OF AEGINA

The danger that hung over Greece like Tantalus' stone has passed, and the poet, though grieving, celebrates Cleander's victories at the Isthmus and Nemea. Aegina, sister of Thebe, bore Aeacus to Zeus. Zeus and Poseidon both sought Thetis until Themis warned that her son would be greater than his father, so she was given to Peleus. Achilles killed Memnon and Hector, and the Muses sang at his funeral. The poet praises Cleander's cousin Nicocles and the young victor.

Κλεάνδρῳ τις ἁλικίᾳ τε λύτρον
For-Cleander one for-his-youth and ransom
εὔδοξον, ὦ νέοι, καμάτων
glorious O young-men of-toils
πατρὸς ἀγλαὸν Τελεσάρχου παρὰ πρόθυρον ἰὼν ἀνεγειρέτω
of-his-father splendid Telesarchus beside porch going let-rouse
κῶμον, Ἰσθμιάδος τε νίκας ἄποινα, καὶ Νεμέᾳ
revel of-Isthmian and victory reward and at-Nemea
ἀέθλων ὅτι κράτος ἐξεῦρε. τῷ καὶ ἐγώ, καίπερ
of-the-games because victory he-found therefore also I although
ἀχνύμενος θυμόν, αἰτέομαι χρυσέαν καλέσαι
grieving in-heart ask golden to-call
Μοῖσαν. ἐκ μεγάλων δὲ πενθέων λυθέντες
Muse from great and sorrows released
μήτ' ἐν ὀρφανίᾳ πέσωμεν στεφάνων,
neither into bereavement let-us-fall of-crowns
μήτε κάδεα θεράπευε· παυσάμενοι δ' ἀπρήκτων κακῶν
nor sorrows nurse ceasing and from-ineffectual woes
γλυκύ τι δαμωσόμεθα καὶ μετὰ πόνον·
sweet something we-will-publish even after toil

ἐπειδὴ τὸν ὑπὲρ κεφαλᾶς
since the above head
τὸν Ταντάλου λίθον παρά τις ἔτρεψεν ἄμμι θεός,
the of-Tantalus stone aside some turned for-us god

ἀτόλματον Ἑλλάδι μόχθον. ἀλλά
unbearable for-Greece toil but
μοι δεῖμα μὲν παροιχόμενον
for-me fear indeed having-passed
καρτερὰν ἔπαυσε μέριμναν· τὸ δὲ πρὸ ποδὸς ἄρειον ἀεὶ σκοπεῖν
strong stopped care the and before foot better always to-look-to
χρῆμα πᾶν. δόλιος γὰρ αἰὼν ἐπ᾽ ἀνδράσι κρέμαται,
matter every treacherous for life over men hangs
ἑλίσσων βίου πόρον· ἰατὰ δ᾽ ἔστι βροτοῖς σύν γ᾽
rolling of-life the-course curable and are for-mortals with at-least
ἐλευθερίᾳ καὶ τά. χρὴ δ᾽ ἀγαθὰν ἐλπίδ᾽ ἀνδρὶ
freedom even these it-is-needful and good hope for-a-man
μέλειν· χρὴ δ᾽ ἐν ἑπταπύλοισι Θήβαις τραφέντα
to-care-for it-is-needful and in seven-gated Thebes reared
Αἰγίνᾳ Χαρίτων ἄωτον προνέμειν,
for-Aegina of-the-Graces the-flower to-offer
πατρὸς οὕνεκα δίδυμαι γένοντο θύγατρες Ἀσωπίδων
of-the-father because twin were daughters of-the-Asopids
ὁπλόταται, Ζηνί τε ἄδον βασιλεῖ.
youngest for-Zeus and pleased king
ὃ τὰν μὲν παρὰ καλλιρόῳ
who her indeed by fair-flowing
Δίρκᾳ φιλαρμάτου πόλιος ᾤκισσεν ἁγεμόνα·
Dirce of-chariot-loving city settled as-ruler

σὲ δ' ἐς νᾶσον Οἰνοπίαν ἐνεγκὼν
you and to island Oenopia bringing
κοιμᾶτο, δῖον ἔνθα τέκες
lay-with godlike where you-bore
Αἰακὸν βαρυσφαράγῳ πατρὶ κεδνότατον ἐπιχθονίων· ὃ καὶ
Aeacus to-deep-thundering father most-cherished of-earth-dwellers who also
δαιμόνεσσι δίκας ἐπείραινε· τοῦ μὲν ἀντίθεοι
for-gods disputes decided of-him indeed godlike
ἀρίστευον υἱέες υἱέων τ' ἀρηΐφιλοι παῖδες ἀνορέᾳ χάλκεον
excelled sons of-sons and dear-to-Ares children in-valor bronze
στονόεντ' ἀμφέπειν ὅμαδον· σώφρονές τ' ἐγένοντο
groaning to-handle din prudent and they-became
πινυτοί τε θυμόν.
wise and in-heart
ταῦτα καὶ μακάρων ἐμέμναντ' ἀγοραί,
these-things also of-the-blessed remembered assemblies
Ζεὺς ὅτ' ἀμφὶ Θέτιος ἀγλαός τ' ἔρισαν Ποσειδᾶν γάμῳ,
Zeus when for Thetis splendid and strove Poseidon marriage
ἄλοχον εὐειδέ' ἐθέλων ἑκάτερος
as-wife fair wishing each
ἑὰν ἔμμεν· ἔρως γὰρ ἔχεν.
his-own to-be love for held
ἀλλ' οὔ σφιν ἄμβροτοι τέλεσαν εὐνὰν θεῶν πραπίδες,
but not for-them immortal accomplished bed of-gods minds

ἐπεὶ θεσφάτων ἐπάκουσαν· εἶπε δ'
since oracles they-heard spoke and
εὔβουλος ἐν μέσοισι Θέμις,
wise-in-counsel in midst Themis

οὕνεκεν πεπρωμένον ἦν φέρτερον γόνον
that fated it-was mightier offspring
ἄνακτα πατρὸς τεκεῖν
lord than-his-father to-bear
ποντίαν θεόν, ὃς κεραυνοῦ τε κρέσσον ἄλλο βέλος
the-sea goddess who than-thunderbolt and stronger other weapon
διώξει χερὶ τριόδοντός τ' ἀμαιμακέτου, Δί τε μισγομέναν
will-wield in-hand than-trident and irresistible to-Zeus and mingling
ἢ Διὸς παρ' ἀδελφεοῖσιν. — "Ἀλλὰ τὰ μὲν
or of-Zeus with brothers But these-things indeed
παύσατε· βροτέων δὲ λεχέων τυχοῖσα
stop of-mortal and bed having-won
υἱὸν εἰσιδέτω θανόντ' ἐν πολέμῳ,
son let-her-see dying in war
χεῖρας Ἄρεΐ τ' ἐναλίγκιον στεροπαῖσί τ' ἀκμὰν ποδῶν.
in-hands to-Ares and like to-lightnings and in-swiftness of-feet
τὸ μὲν ἐμὸν Πηλεῖ γάμου θεόμορον
the indeed my to-Peleus of-marriage god-ordained
ὀπάσσαι γέρας Αἰακίδᾳ,
to-grant prize to-the-son-of-Aeacus
ὅντ' εὐσεβέστατον φάτις Ἰωλκοῦ τράφειν πεδίον·
whom most-pious the-story of-Iolcus to-nurture the-plain

ἰόντων δ' ἐς ἄφθιτον ἄντρον εὐθὺς
let-go and to immortal cave straightway
Χείρωνος αὐτίκ' ἀγγελίαι·
of-Chiron at-once messages

μηδὲ Νηρέος θυγάτηρ νεικέων πέταλα δὶς ἐγγυαλιζέτω
nor of-Nereus daughter of-strifes leaves twice let-put-into-hands
ἄμμιν· ἐν διχομηνίδεσσιν δὲ ἑσπέραις ἐρατὸν
for-us in mid-month and evenings lovely
λύοι κεν χαλινὸν ὑφ' ἥρωϊ παρθενίας." ὣς φάτο
may-loose — the-bridle under hero of-maidenhood so she-spoke
Κρονίδαις ἐννέποισα θεά· τοὶ δ' ἐπὶ
to-the-sons-of-Cronus speaking the-goddess they and with
γλεφάροις νεῦσαν ἀθανάτοισιν· ἐπέων δὲ καρπὸς
eyelids nodded immortal of-the-words and the-fruit
οὐ κατέφθινε. φαντὶ γὰρ ξύν' ἀλέγειν
not withered they-say for common-care to-take
καὶ γάμον Θέτιος ἄνακτα. καὶ νεαρὰν ἔδειξαν σοφῶν
also the-marriage of-Thetis the-lord and youthful showed of-the-wise
στόματ' ἀπείροισιν ἀρετὰν Ἀχιλέος·
mouths to-the-unknowing the-excellence of-Achilles
ὃ καὶ Μύσιον ἀμπελόεν
who also Mysian vine-clad
αἵμαξε Τηλέφου μέλανι ῥαίνων φόνῳ πεδίον,
bloodied of-Telephus with-black sprinkling gore plain

γεφύρωσέ τ' Ἀτρεΐδαισι νόστον,
bridged and for-the-sons-of-Atreus return
Ἑλέναν τ' ἐλύσατο, Τρωΐας
Helen and freed of-Troy
ἶνας ἐκταμὼν δορί, ταί νιν ῥύοντό ποτε μάχας ἐναριμβρότου
sinews cutting-out with-spear which him held-back once of-battle man-slaying
ἔργον ἐν πεδίῳ κορύσσοντα, Μέμνονός τε βίαν
work on plain arming of-Memnon and the-might
ὑπέρθυμον Ἕκτορά τ' ἄλλους τ' ἀριστέας· οἷς δῶμα
haughty Hector and others and chieftains to-whom house
Φερσεφόνας μανύων Ἀχιλεύς, οὖρος Αἰακιδᾶν,
of-Persephone showing Achilles bulwark of-the-Aeacidae
Αἴγιναν σφετέραν τε ῥίζαν πρόφαινεν.
Aegina his-own and root made-famous
τὸν μὲν οὐδὲ θανόντ' ἀοιδαὶ ἔλιπον,
him indeed not-even dead songs left
ἀλλά οἱ παρά τε πυρὰν τάφον θ' Ἑλικώνιαι παρθένοι
but for-him by both pyre tomb and Heliconian maidens
στάν, ἐπὶ θρῆνόν τε πολύφαμον ἔχεαν.
stood over lament and many-voiced poured
ἔδοξ' ἆρα τόδ' ἀθανάτοις,
it-seemed then this to-the-immortals
ἐσλόν γε φῶτα καὶ φθίμενον ὕμνοις θεᾶν διδόμεν.
good indeed man even dead to-hymns of-goddesses to-give

τὸ καὶ νῦν φέρει λόγον, ἔσσυταί τε
which even now brings word hastens and
Μοισαῖον ἅρμα Νικοκλέος
Muse-sacred chariot of-Nicocles
μνᾶμα πυγμάχου κελαδῆσαι.
the-memory of-the-boxer to-celebrate
γεραίρετέ νιν, ὃς Ἴσθμιον ἂν νάπος
honor him who Isthmian in glen
Δωρίων ἔλαχεν σελίνων· ἐπεὶ περικτίονας
Dorian won parsley since neighboring
ἐνίκασε δή ποτε καὶ κεῖνος ἄνδρας ἀφύκτῳ χερὶ κλονέων.
he-defeated indeed once also he men with-inescapable hand driving
τὸν μὲν οὐ κατελέγχει κριτοῦ γενεὰ
him indeed not disgraces of-the-chosen race
πατραδελφεοῦ· ἁλίκων τῷ τις ἁβρὸν
his-uncle of-age-mates for-him one luxurious
ἀμφὶ παγκρατίου Κλεάνδρῳ πλεκέτω
for pancratium for-Cleander let-weave
μυρσίνας στέφανον, ἐπεί νιν Ἀλκαθόου τ' ἀγὼν σὺν τύχᾳ
of-myrtle crown since him of-Alcathous and contest with fortune
ἐν Ἐπιδαύρῳ τε νεότας δέκετο πρίν·
in Epidaurus and youth received before
τὸν αἰνεῖν ἀγαθῷ παρέχει·
him to-praise for-the-good it-is-possible
ἦβαν γὰρ οὐκ ἄπειρον ὑπὸ χειᾷ καλῶν δάμασεν.
youth for not untried in hole of-noble-things he-subdued